2743

CALECAS
DE
FIDE

3199

2-5-5 33




VII H 5

3199

~~34~~
·35·

Oviedo 21

N.º 21

EMMANUEL CALLECAS

De Fide.

Siglo XVI.

Περὶ πίστεως, καὶ περὶ τῶν ἀρχῶν τῆς καθολικῆς πίστεως κατὰ τὴν παράδοσιν τῆς θείας γραφῆς, καὶ τῶν καθολικῶν διδασκάλων τῆς ἐκκλησίας, πονηθὲν τῷ μακαρίτῃ κυρῷ μανουὴλ τῷ καλέκᾳ :-


α΄ Πρὸς τὸν αἰτήσαντα :- β΄ περὶ τοῦ ἑνὸς θεοῦ :- Fo. 6.

γ΄ Περὶ αὐτοῦ τοῦ ἑνὸς θεοῦ, ὅς ἐστι τριάς : Fo. 90.

δ΄ Τίνας ποτὲ εἰκόνας περὶ τῆς ἁγίας τριάδος παραδεδώκασιν οἱ ἅγιοι :- Fo. 107.

ε΄ Περὶ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου κατὰ τὰς θείας γραφάς :- 151.

ς΄ Περὶ τῶν ἑπτὰ μυστηρίων :- Fo. 181.

ζ΄ Ἔτι περὶ τῆς σαρκώσεως ἐκλογή, ὡς ἐνδέχεται :- 195.

η΄ Περὶ τῆς μελλούσης τῶν νεκρῶν ἀναστάσεως :- 116.

θ΄ Περὶ τῆς μελλούσης ἀποκαταστάσεως :- ι΄: Ἐπίλογος :- Fol. 234.

## πρὸς τὸν αἰτήσαντα:-

Τὸ φιλομαθὲς τῶν ἀνθρώπων παρὰ τῶν σοφῶν α'
ἐπαινεῖται· καὶ μάλιστα ὅταν τὰ κάλλιστα
τῶν μαθημάτων ἐπιθυμῶσι μανθάνειν.
τοῦτο γὰρ ὄντως λογικῆς ψυχῆς ἐστὶν ἴδιον,
καὶ μόνον σπουδάζεται γνῶσιν καὶ σοφίαν
τοῖς ἄλλοις προσασπάζειν, ὡς καί που τις
τῶν παλαιῶν ἔλεγεν· ἐὰν ᾖς φιλομαθής, ἔσῃ
πολυμαθής. δῆλον γὰρ ὡς ὁ μὲν ἀγαπῶν
μανθάνειν, ζητήσει πάντως· ὁ δὲ ζητῶν, καὶ
εὑρήσει· ὁ δὲ εὑρὼν οὐχ ὅτι δὴ καὶ νοήσει καὶ
γνώσεται. καὶ τοῦτο ἐντεῦθεν τὸ τῆς λογικῆς ψυχῆς
ἰδίωμα ἑαυτῷ διασώσει. καὶ λογικὸς ὁ

τοιοῦτος ἐστί τε καὶ δὴ καὶ κληθήσεται. ὥσ-
περ οὖν αὖθις ὁ μηδὲν τι τῶν καλῶν μή-
τε ζητῶν μήτε εὑρίσκων. μήτε μὴν ἐπι-
στάμενος, τοῦ μὲν ἀληθῶς ἄνθρωπος εἶναι ἐκ-
πίπτει τοῖς δ' ἀνοήτοις κτήνεσι παραβάλ-
λεται. Διὸ ὁ σωτὴρ καὶ ὁ χριστὸς. ἡ αὐτοαλήθεια,
καὶ αὐτοσοφία, ζητητικοὺς ἡμᾶς περὶ τὰ
καλὰ βουλόμενος εἶναι, νῦν μὲν ἐδίδασκε,
” ἀλλ' ὅτε καὶ διαθήσεται ἡμῖν, πᾶς γὰρ ὁ αἰ-
” τῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ
” κρούοντι ἀνοιγήσεται. νῦν δὲ ἐρευνᾶτε τὰς
γραφάς. Καὶ γὰρ ὡς φησιν ὁ μακάριος παῦ-
λος, ὅσα προεγράφη, εἰς ἡμετέραν διδασκαλ

κίαν περιέγραψε. σὺ τοίνυν ὅτι μὲν ὑπάρ-
χεις φιλομαθὴς πολλαχόθεν δεικνύεις· πολὺ
μὲν ἀπαιδεύτοις ἐκείνοις ἡγούμενος, οἳ
βλάβην ψυχῆς τοὺς λόγους καὶ τὴν σοφί-
ὑπολαμβάνουσι. πολὺ δὲ ζημίαν μεγί-
στην ἑαυτῷ ἡγούμενος, ὅτῳ ὅσοι μὴ λόγων καὶ
σοφίας ἐξεγένετο κατὰ τὸ δυνατὸν μετα-
σχεῖν. ὅτι δὲ περὶ τὰ μέγιστα καὶ ψυχω-
φελῆ μαθήματα διατρίβεις καὶ τοῦτο
δεικνύεις ἀφ᾽ ὧν ἐζήτησας νῦν μαθεῖν παρ᾽ ἡ-
μῶν περὶ τῶν ἀνηκόντων τῇ καθ᾽ ἡμᾶς τῶν
χριστιανῶν πίστει. ἐγὼ μὲν οὖν σου τὸ φι-
λομαθὲς ἐπαινῶν, τοῦτο οὐκ ἐπαινῶ. ὅτι

σου τὴν ἐπιθυμίαν ἱκανοὺς ἡμᾶς ἐνόμι-
σας ἐκπληρῶσαι εἰ δὴ καὶ σὲ παρ' ἄλλων τὰ τοι-
αῦτα ἐπιζητεῖν. οἳ καὶ βίῳ καθαρωτάτῳ
καὶ τῷ καθ' ἡμέραν τὸν νόμον μελετᾶν τοῦ
θεοῦ, δυνήσονται, τοῖς ταῦτα ζητοῦσιν ἀρκούν-
τως ἀποδιδόναι. ἡμεῖς δὲ τούτων ἀποροῦν-
τες ἁπάντων, πῶς ἄρα δυνησόμεθα τοῖς
ἄλλοις τὰ τοιαῦτα διδάσκειν, περὶ ὧν καὶ
αὐτοὶ παρ' ἄλλων εἰδότων μηδὲν ἔλαττον δι-
δάσκεσθαι χρῄζομεν. ὅμως οὐ καλῶς ἔχειν
ὑπολαμβάνοντες, εἴ τις μὴ πολλῶν εὐπο-
ρῶν καὶ μεγάλων, οὐδὲ τὰ δυνατὰ διὰ τοῦ-
το παρέχει, καὶ ἅμα σοι διὰ τὴν φιλίαν ἀ-

ξιοῦντων ὑπακοὴν, ὅτι περὶ ὧν ζητεῖς
παρὰ τῆς ἁγίας γραφῆς καὶ τῶν διδασκά-
λων τῆς ἐκκλησίας τοῦ θεοῦ χορηγοῦντος
καταλαβεῖν ἐδυνήθημεν, μετ' ὀλίγας
σοι πειρασόμεθα ἀποδοῦναι. ὥσπερ ἐκ
πελάγους ἀπείρου σταγόνας μικρὰς ἀφ-
ελόμενοι τῆς μὲν λέξεως καὶ τοῦ κάλ-
λους τῶν ὀνομάτων, ὀλίγον φροντίζοντες.
μᾶλλον δὲ καὶ ὅσον ἐγχωρεῖ διὰ τὸ σαφὲς ἀ-
μελοῦντες ὅπως δὲ τὰ νοήματα ἀληθῆ καὶ
ὀρθότατα ἐπὶ λόγοις ἁγίων πάντοθεν κα-
τωχυρωμένα, τοῦτο σκοποῦντες μόνον ὅ-
περ ἡμᾶς ἐνταῦθα τοσοῦτον διὰ πάντ

φυλαξόμεθα· ὥστε καὶ ἀρχόμενοι· μηδὲν
ἀφ' ἡμῶν αὐτῶν ὅρον ἢ οἰκεῖον καθυπισχνού-
μεθα· τοῦτο δὲ μόνον ἐσοίσομεν οἴκοθεν.
τὰ τοῖς ἁγίοις ἡμῶν πατράσιν ὑπὸ τοῦ ἁγίου
πνεύματος ἐμπνευσθέντα καταστρωννοῦντες,
γρ. ἐκτεθησομένων ὡς ἀπὸ τῶν ἐκτεθέντων τοῦτο φανήσεται δη-
λονότι ἐφ' ἑκάστου τῶν λεγομένων· ἵνα γνῶ-
μεν συνέχον περὶ τοῦ προκειμένου. Καὶ ὅπως
ἂν εἴποιμεν· τούτου τὴν μαρτυρίαν καὶ
τὸ πιστὸν ἐκ τῶν λόγων τῶν ἁγίων ἐπάξοντες
ἵνα μὴ δοκῶμεν γεννήματα τῆς ἡμετέρας
φθέγγεσθαι διανοίας ἐν γε τοῖς περὶ θεοῦ
λόγοις ἐκεῖνος ἄριστα λέγει οὐχ ὅστις ἀπὸ

κοιλίας φθέγγεται τὰ δοκοῦντα. ἀλλ' ὅσα ὥσπερ ἐγγαστρίμυθοι
ἀποφάσεσι τῆς θείας γραφῆς καὶ ταῖς ἐξη-
γήσεσι τῶν ἁγίων σύμφωνα πάντα περιτί-
θησι, οὐδὲν ἧττον, ἢ προστιθεὶς κατὰ
τὰ νοήματα. ὅθεν καὶ αὐτὸς εἰ μὴ ταῖς
τῶν ἁγίων ἀποφάσεσι βεβαιότατα ἐπι-
σταμένῳ περὶ ὧν ἐζήτησας κεφαλαίων,
οὐκ ἂν ὅλως οὐδὲ τὸ τυχὸν ἐτόλμησα φθέγ-
ξασθαι. ὁμοῦ μὲν φοβούμενος μὴ περὶ
θεοῦ λέγειν, ἀλλότριον τῆς ἀληθείας ἐμαυ-
τῷ συμβῇ. ὁμοῦ δὲ γινώσκων μέγιστον
εἶναι κίνδυνον τοῖς τὰ τοιαῦτα περὶ θεοῦ
καὶ νοοῦσι καὶ λέγουσιν. οὐδὲν γὰρ ἐπιχεῖν-

δεινότερον καὶ πρὸς ἀπώλειαν μᾶλλον
ἄτοπον, ἢ πλανώμενόν τινα περὶ τοῦ, τὰ
μὴ ὄντα ὡς ὄντα δοξάζειν. ὥσπερ οὖν οὐ-
δὲν ὠφελιμώτερον οὐδὲ ἐπικερδέστερον τοῦ
περὶ αὐτοῦ πάλιν λέγοντα ἀληθεύειν, προ-
σήκειν δέ μοι δοκεῖ περί τινων ἀγῶνα πρὸ
τῶν ζητημάτων διαλαβεῖν, ἀναγκαιοτάτων
ὄντων πάντων, ἃ καὶ τὸ πλεῖον σύγγραμμα
σχεδὸν συμπεπληρωμένον καὶ ἄρτιον
δοκεῖ κατασκευάσαι. καὶ ὅτι οὐκ ἔστιν οὐδὲ
τὸ τυχὸν ζήτημα ἱκανῶς εὑρεῖν, καὶ τὴν τυ-
χοῦσαν ἐπιλύσασθαι ἀπορίαν, ἀλλὰ μὲν πρός
τινα ἀναστρεφομένων καθολικώτερα καί

οἰκεῖα τοῖς προκειμένοις ζητήμασιν. οὕ-
τω δι' ἐκείνων ὁδοῦ καὶ τάξει προβαίνοντες
ἐπὶ τὰ ζητούμενα καταντήσωμεν:-

## περὶ τοῦ ἑνὸς θεοῦ:-

Πιστεύομεν καὶ ὁμολογοῦμεν ἕνα καὶ μό- β
νον εἶναι ἀληθῆ θεὸν τοῦ παντός. ἄναρχον
ἀτελεύτητον, αἰώνιον, ἀνώλεθρον, ἀθά-
νατον, παντοδύναμον, ἄπειρον. ἀόρατον
ἀνώνυμον ἀπερίγραπτον, ἀσώματον, ἀ-
γαθόν, ἁπλοῦν, ἀνεκλιπῆ, τελειότατον,
καὶ γὰρ περὶ αὐτοῦ ἐν τῇ παλαιᾷ νομοθεσίᾳ
διδασκόμεθα. ἄκουε Ἰσραήλ, κύριος ὁ θεός σου
κύριος εἷς ἐστι. καὶ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι

" πλὴν ἐμοῦ. Καὶ πάλιν διὰ Ἡσαΐου τοῦ
" προφήτου· ἐγὼ θεὸς πρῶτος· ἐγὼ καὶ μετὰ -
" ταῦτα· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος
" θεός· καὶ μετ' ἐμὲ οὐκ ἔσται· καὶ πλὴν ἐμοῦ
οὐκ ἔστιν, ὃς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
παρήγαγε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ τὰ ἐν
αὐτοῖς περιεχόμενα πάντα. καὶ πρὸ τού-
των δὲ τὰς ἀσωμάτους καὶ οὐρανίους
δυνάμεις, οὐχ ὅτι μὴ δυνάμενος πρότε-
ρον ἢ μὴ γινώσκων ὕστερον ἐδημιούρ-
γησε ταῦτα· ὅτε ἢ ἐδυνήθη ἢ ἐνεθυμή-
θη. ὥσπερ ἐπὶ τῶν ἄνω συμβαίνει τῶν τε-
χθέντων ὄντων καὶ κατ' ὀλίγον εἰς τελειότητα

προνοούντων. ἀγαθότατος ὢν καὶ
ἀΐδιος ἄτρεπτος καὶ γινώσκων δίχα πά-
σης μεταβολῆς καὶ κινήσεως, ὅτε ἠ-
θέλησεν ὑπὸ τῆς αὐτοῦ ἀγαθότητος τὰ
πάντα ὅθεν προώρισεν ἐποίησεν. ὃς
ὑπ' οὐδενὸς γινώσκεται κτίσματος, ἢ
κατὰ τὴν οὐσίαν ἐστίν, αὐτὸς δὲ μόνος
οἶδεν ἑαυτὸν ἐξ ἑαυτοῦ· ὡς ὁ ἐκ δαμα-
σκοῦ θεόπατος λέγει. ὁ θεὸς γινώσκει ἑ-
αυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ.
δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν· ὅτι
δέ ἐστιν ὁ θεὸς ἢ εἷς θεός· ἢ σοφός, ἢ ἀγαθός,
ἢ δίκαιος κατὰ τοῦτο μόνον γινώσκεται.

Κατὰ τοῦτο δὲ μετρίως· καὶ ὅσον δύναται

ὁ ἀνθρώπινος νοῦς· κατὰ τὴν ἀναλογίαν τῆς

ἑαυτοῦ βραχύτητος. καὶ γὰρ θεὸν οὐδεὶς ἑώ-

ρακε πώποτε· ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ

ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγή-

σατο φησὶν ὁ εὐαγγελιστὴς Ἰω. τὰ δὲ ἀόρα-

τα αὐτοῦ κατὰ τὸν μακάριον παῦλον

ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοού-

μενα καθορᾶται. καὶ ὁ μέγας βασίλειος

κατὰ εὐνομίου ἀγωνιζόμενος οὕτω λέγει. εἰ-

πὼς αὐτὴν μόνην τὴν οὐσίαν, ἀπερίοπτον εἶναι

παντί. πλὴν ἢ τῷ μονογενεῖ καὶ τῷ ἁγίῳ

πνι. ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ θεοῦ ἀναγό-

,, μένους ἡμᾶς. καὶ διὰ τῶν ποιημάτων
,, τοῦ ποιητοῦ ἐννοοῦντα, τῆς ἀγαθότητος
,, αὐτοῦ καὶ τῆς σοφίας ὑπερβαίνοντα αἴσθη-
,, σιν. τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ θεοῦ. ὃ πᾶ-
,, σιν αὐτοῖς ὁ θεὸς ἐφανέρωσεν. καὶ ὁ ἅγιος
,, μάξιμος ἐν τοῖς περὶ ἀγάπης κεφαλαίοις
,, φησι θεολογικῶς λέγων. μὲν τοὺς κατ' αὐ-
,, τὸν ζητήσας λόγους. οὐ μὴν γὰρ εὑρήσει ἀνθρώπινος
,, νοῦς. ἀλλ' οὐδὲ ἄλλου τινὸς τῶν μετὰ θεόν.
,, ἀλλὰ τοὺς περὶ αὐτὸν ὡς οἷόν τε διασκοπεῖ.
,, οἷον τοὺς περὶ ἀϊδιότητος ἀπειρίας τε
,, καὶ ἀοριστίας, ἀγαθότητός τε καὶ σοφί-
,, καὶ δυνάμεως δημιουργικῆς τε καὶ προ-

» νοητικῆς καὶ κριτικῆς τῶν ὄντων. οὗτος γὰρ
» ἐν αὐτοῖς μέγας θεολόγος, ὁ τούτων τοὺς
» λόγους καὶ πῶς ἐξαείσκων. διὸ ὅτι μὴν
» οὐδὲ τούτων τοὺς λόγους ὁ ἀνθρώπινος νοῦς κα-
» ταλαβεῖν ἐξίσχυσε καὶ ἐνταῦθα ἐδήλωσεν.
ἐν δὲ τοῖς θεολογικοῖς καθαρώτερον ὁ αὐ-
» τὸς διδάσκει λέγων. ἐνέστι τὸ ὑπεράναρχον
» καὶ ὑπερούσιον ἀγαθόν· ἡ ἁγία καὶ τρι-
» συπόστατος μονάς· πατὴρ καὶ υἱὸς καὶ ἅ-
» γιον πνεῦμα τελείων ἀπείρων ἀπείρος συμ-
» φυΐα. τὸ ὅντινα τοῦτ' εἶναι καὶ πῶς καὶ τί
» καὶ ὁποῖον εἶναι λέγον παντάπασι τοῖς
» οὖσιν ἄβατον ἔχουσα. πᾶσα γὰρ διαφο-

" γὰρ νόησιν τῶν νοουμένων· τῆς κατὰ φύσιν οὐ-
" δαμῶς κρυφίας ἐνδότατος ἠξιοῦσθαι καὶ πάσης πασῶν γνώσεως αὐτὴ πρὸς ὑπε-ρεκπίπτεται. ἐνταῦθα οὐ μόνον τὸ τί ἐστιν ὃ δή φησιν ἄρρητον παντελῶς εἶναι καὶ ἄβατον λέγει, ἀλλὰ καὶ τὰ περὶ τὴν φύσιν αὐτοῦ. καὶ γὰρ παντὸς ὅπερ ἂν ἐν τῷ θεῷ εἶναι λέγηται, ἢ ἐς τὸ αὐτοῦ εἶναι λόγον ἀναφε-ρομένου· ἢ ἐς τὸ ὅτι τί εἶναι, ἢ ἐς τὸ πῶς, ἢ ἐς τὸ ὁποῖον τί εἶναι, οὐ μόνον ὁ τοῦ τί εἶναι καὶ τῆς οὐσίας αὐτοῦ λόγος τί ἐστιν ἀνέκφορος καὶ ἄρρητος καὶ ἀγνο-ούμενος ἡμῖν ἐστιν, ἀλλὰ καὶ ὁ τοῦ εἶναι.

εἰ γὰρ καὶ ἴσμεν, ὅτι ἐστὶ θεός, τοῦτο μόνον ση-
χουμεν ὅτι ἀληθῶς ἐστίν. οὐ μὴν δὲ τί ἐστι
παριστῶμεν. ὡσαύτως δὲ καὶ τὸ πῶς ἐστιν,
ἀγνοοῦμεν. εἰ γὰρ ἴσμεν, ὅτι πατήρ ἐστι καὶ
υἱὸς καὶ ἅγιον πνεῦμα. ἀλλά πως τοῦτ᾽ ἐστί·
καὶ ποία ἐστὶν ἡ πατρότης καὶ υἱότης καὶ
ἡ ἐκπόρευσις ἐστιν ἐκεῖ, ἀγνοοῦμεν. τὸ
δὲ δηλοῦσι ταῦτα τί ἐστι κατ᾽ οὐσίαν ὁ
θεός. τὸ γὰρ γεννητὸν καὶ τὸ ἀγέννητον καὶ τὸ
ἐκπορευτόν, περὶ τὴν φύσιν οὐ ταῦτα
φύσις ὡς γρηγόριος ὁ θεόλογος φησί. καὶ
ὅτι μὲν ἐστιν ὁ θεὸς ἢ σοφὸς ἢ ἀγαθός, ἴσμεν,
ὁποῖον δέ τι ἐστιν ἐκεῖ τὸ σοφὸν ἐκεῖνο καὶ

ἀγαθόν, ἀγνοοῦμεν. καλῶς ἄρα ὁ ἅγιος
ἔλεγεν ὅτι τοῦ τοῦ εἶναι λόγον, καὶ πῶς καὶ
τί καὶ ὁποῖον εἶναι παντελῶς τοῖς οὖ-
σιν ἄβατον ἐστὶ ἡ θεία φύσις ἐκείνη. τὴν
αὐτὴν ὅσην ἔχομεν γνῶσιν περὶ τῆς οὐσί-
ας αὐτοῦ καὶ περὶ τῶν ἐν αὐτῷ πάντων, ἡ
γὰρ τὴν οὐσίαν αὐτοῦ τὰ ὀνόματα ἀσαφη-
νίζον, ἔπειτα αὐτὸν θεὸν πολυζωοθελώτατον
εἶναι, φησὶ γὰρ ὁ θεῖος Βασίλειος κατ' Εὐνο-
” μίου γράφων τὸ ἀγέννητον λέγοντος τὴν
” οὐσίαν εἶναι τοῦ θεοῦ· πῶς οὐ καταγέλαστον
” τὸ δημιουργικὸν οὐσίαν εἶναι λέγειν. τὸ
” προνοητικὸν πάλιν οὐσίαν. καὶ ἅπαξα-

πλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι,
καὶ γρηγόριος ὁ θεολόγος ἐν τοῖς θεολογι-
κοῖς αὐτοῦ λόγοις φησίν· ἢ καὶ τὸ ἀθάνα-
,, τον καὶ τὸ ἄκακον καὶ τὸ ἀναλλοίωτον οὐσία
,, θεοῦ, ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι ἔσονται τοῦ
,, θεοῦ καὶ οὐ μία. ἀνώνυμος οὖν ἐστιν ὁ θεός,
,, καὶ οὐδὲν τῶν περὶ αὐτοῦ λεγομένων τί ἐστι
,, παρίστησι. οὐ γὰρ ἐκ τῶν κατ' αὐτὸν ἀλλ' ἐκ τῶν
,, περὶ αὐτὸν ὀνομάζεται, ἄλλης ἐξ ἄλλου φαν-
,, τασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας
,, ἴνδαλμα κατὰ τὸν αὐτὸν θεολόγον. οὐ γὰρ
,, ἀφῆκεν ἡμᾶς ὁ θεὸς ἐν παντελεῖ ἀγνωσίᾳ
αὐτοῦ ζῆν· ἀλλ' ὡς φησὶν ὁ ἐκ δαμασκοῦ

" θεολόγος, δι' ἄφατον ἀγαθότητα εὐδόκη-
" σεν ἐκ τῶν καθ' ἡμᾶς ὀνομάζεσθαι· ἵνα
" μὴ ἀμέτοχοι παντελῶς ὦμεν τῆς αὐτοῦ ἐ-
" πιγνώσεως. ἐπειδὴ γὰρ ὡς ἔφαμεν διὰ μό-
" νην ἀγαθότητα τὸν σύμπαντα κόσμον
ἐδημιούργησεν· καὶ τέλος τὸν ἄνθρωπον κατ'
εἰκόνα ἑαυτοῦ καὶ ὁμοίωσιν ἔπλασεν ὡς
ἡ παλαιὰ διδάσκει γραφή, ἵνα τῶν ὁ-
ρωμένων πάντων ἄρχῃ κτισμάτων. διὸ
καὶ λογικὸν αὐτὸν ἔπλασε. δυνάμεθα
αὐτῇ τῇ δυνάμει τοῦ λόγου χρώμενοι, ἣν
ἡμῖν ἐνέθηκεν ὁ θεὸς διὰ δόξαν αὐτοῦ καὶ
ὑμνῳδίαν ἀπὸ τῶν ὁρωμένων συλλογί-

ξεσθαι. Καὶ τοῦτο τῷ βουλομένῳ ἔννοιαν ἣν ἀπὸ

θεοῦ λαμβάνειν. καὶ γὰρ τὸ μεγαλεῖον τῆς

θείας φύσεως ὁ κόσμος ἀνακηρύττει. καὶ

τοῖς προσέχουσι βοᾷ τὸν δημιουργὸν ἑαυ-

τοῦ, οἷον, ἐπειδὴ ἀποβλέποντες πρὸς τὰ

κτίσματα νοοῦμεν ὅτι τρεπτὰ καὶ ἀλ-

λοιωτά εἰσι· καὶ γινόμενα καὶ αὐξανό-

μενα καὶ φθειρόμενα. καὶ γὰρ καὶ οἱ ἄγγε-

λοι εἰ καὶ ἀσώματοι καὶ ἄϋλοι εἰσὶν ἀλλὰ

πρὸς τὴν τοῦ θεοῦ καθαρωτάτην ἁπλότητα

συγκρινόμενοι καὶ αὐτοὶ σωματικοί εἰσι. διὸ

καὶ τρεπτοὶ κατανοοῦνται καὶ ὁ σύμπας

κόσμος ἐν φθορᾷ ἐστι. ταῦτα συναγαγόν-

τες συλλογιζόμεθα καθότι οὐ μὲν λογικοί,
οὕτως ἐπειδὴ τὰ ὁρώμενα πάντα τρεπτά ἐστι
καὶ ἀλλοιωτά. δῆλον ὅτι καὶ κτιστὰ καθε-
στήκασι. πᾶν γὰρ κτιστὸν ἀλλοιωτὸν καὶ τρε-
πτόν. καὶ πᾶν ἀλλοιωτὸν καὶ τρεπτόν. κτίσ-
μα ἐστίν. εἰ δὲ κτιστά ἐστι πάντως ὑπό
τινος ἐδημιουργήθησαν. καὶ δῆλον δη-
μιουργὸν τούτων, ἄκτιστον καὶ ἄτρεπτον
εἶναι. εἰ γὰρ κἀκεῖνος κτιστὸς, δῆλον ὑφ'
ἑτέρου δεδημιούργηται. καὶ πάλιν ἡ κἀ-
κεῖνος κτιστός, ἔτι καὶ αὐτὸς ὑφ' ἑτέρου,
καὶ τοῦτο εἰς ἄπειρον ἕως ἂν ἔλθῃ ἄκτιστον
καταντήσωμεν. εἰ οὖν ἄκτιστον, καὶ ἄτρε-

πλον. εἰ δὲ ἄπειρον. τοῦτο ὁμολογούμενος
θεός· αὐτὸ τούτων οὖν καὶ πάλιν ἐκ τούτου πῶς
ὁ κόσμος ἐκ πολλῶν διαφόρων καὶ ἐναντίων
συγκείμενος σώζεται ἐν ταυτότητι τά-
ξεως διηνεκεῖ· καὶ περικρατεῖται τοσοῦ-
τον μέγεθος, οὐδὲ γὰρ ἁπλῶς καὶ ὡς ἔτυ-
χε ταῦτα ἔχουσιν οὕτως, ἐπείπερ οὐδὲ οἰ-
κία, ἢ ναῦς δύναται διακρατεῖσθαι καὶ οἰ-
κονομεῖσθαι, καὶ διασώζεσθαι, μηδενὸς οἰκο-
νομοῦντος καὶ κυβερνῶντος, ἐκ τούτων οὖν
καὶ τοιούτων δεικνύων ἄλλων συμπεραίνομεν
ὁμολογουμένως. ὅτι ἐστὶ θεός. ἄκτιστος καὶ ἄ-
τρεπτος. ὁ καὶ τὰ κτιστὰ πάντα ὁρατά τε

καὶ ἀόρατα

καὶ ἀόρατα δημιουργήσας· καὶ ταῦτα
κατὰ λόγον καὶ τάξιν ἀρίστην ὡς ἑαυτοῦ ποι-
ήματα ἀνυπερβλήτῳ δυνάμει φέρων
καὶ διεξάγων· καὶ ἐντεῦθεν πειθόμεθα· ὅτι
οὐκ αὐτομάτως ὁ κόσμος ὑπέστη, ὥς τινες
κακῶς ὑπετίθεντο. πάλιν τὸν ὅμοιον τρό-
πον συλλογιζόμεθα οὕτως. εἰ πολλοὺς
θεοὺς εἴπωμεν, ἀνάγκη καὶ διαφορὰν αὐ-
τοῖς ἀποδοῦναι. ἔνθα γὰρ πλῆθος, ἐκεῖ
καὶ διαφορὰ καὶ ἐναντιότης. εἰ δὲ δια-
φορὰ τούτοις ἀποδοθήσεται, πῶς ἔσονται
τέλειοι. καθ᾽ ὃ γὰρ ὁ ἕτερος τοῦ ἑτέρου δια-
φέρει κατὰ τοῦτο λείπεται ἐκείνου μετέχ

αὐτό· καὶ ἔστιν ὑπεροχῆς· ἢ κατὰ σοφίαν, ἢ
κατὰ δύναμιν ἢ κατ' ἄλλην τινα ὑπεροχήν.
δεήσεται τοίνυν ὁ εἷς τοῦ ἑτέρου, καὶ οὕτως
οὐκ ἂν εἶεν οὔτε τέλειοι, οὔτε ἀπερίγρα-
πτοι· οὔτε ἄπειροι, ἐπεὶ οὐδὲν δέχεται καθ'
ἑαυτὰ πολλὰ ἄπειρα καὶ ἀπερίγραπτα
εἶναι. κατὰ συμβεβηκὸς μέντοι οὐδὲν
κωλύει· ὥσπερ πέλαγος ἄπειρον καὶ πε-
δίον. πῶς οὖν οἱ οὕτως ἐπιδεεῖς ἀλλήλων
κυρίως ἄριστοι καὶ τελειότατοι ἔσονται
θεοί. πρὸς τούτοις, ἐπεὶ ἔνθα διαφορά, ἐκεῖ
καὶ ἀνισότης, καὶ ἐναντίωσις ἐστίν. εἰ μὲν
ὁμογνωμονοῦσι καὶ τοῦ ἑνὸς τὰ διάφορα

μετέχουσιν, ὑφ' ἓν ἀγόμενα, πολλῷ μᾶλ-
λον ἔσται τὸ ἐκεῖνο δὲ τὸ τὰ διάφορα ἑνοῦν.
ἐπεὶ καὶ τὸ κράτιστον τοῦ συναπτομένου μεῖζον καὶ
τελεώτερον. τὸ δ' αὐτὸ συμβήσεται καὶ εἰ
λέγῃ τις ὅτι ἕκαστος μετέχει ἀρχῆς, ὡς οἵ τι-
νες ἔλεγον. ζητήσομεν γὰρ τί ποτ' ἐστὶν ἐκεῖνο
τὸ τὴν διανομὴν τῶν ὄντων αὐτοῖς ποιησάμε-
νον καὶ τάξαν οὕτως. αὐτοῖς ἀρχήν. τοῖς μὲν
ὁποσοῦν τυχόν. τοῖς δὲ ἑξῆς. καὶ ἄλλον ἄλλου. ἐ-
κεῖνο γὰρ μᾶλλον ἂν εἴη θεῖ'. εἰ δ' ὥσπερ ἀναγ-
καῖον μάχη καὶ ἐναντίωσις ἀκολουθήσει
πολλοῖς. καὶ διαφόροις οὖσι διαλυθήσεται
ὁ κόσμος διαφορᾶς καὶ μάχης ἐν τοῖς

κυβερνᾶσθαι θεῷ ἐρρωμένης. τὸ μὲν περαινόμενον
οὖν αὐτόματον. ὅτι ἐστὶ θεὸς τέλειος καὶ
ἄπειρος, καὶ ἀπερίγραπτος, ποιητὴς καὶ
κυβερνήτης τοῦ δὲ τοῦ παντός. ἃ καὶ ἡ θεία
γραφὴ διαρρήδην διδάσκει. πάλιν ἐπειδὴ
πᾶν τὸ κινούμενον ὑφ' ἑτέρου κινεῖται ἐξ-
ετάζοντες, κἀκεῖνο τίς κινεῖ καὶ τοῦτο μέχρι
πολλοῦ. ἀναγκαζόμεθα καταντῆσαι εἰς
τι πρᾶγμα κινοῦν μὲν ἐκεῖνο τὰ ἄλλα, αὐ-
τὸ δὲ ὑπὸ μηδενὸς κινούμενον. τὸ γὰρ πρώτως
κινοῦν, ἀκίνητον, καὶ τοῦτ' ἔστιν ὁ θεὸς θεὸς μη-
δὲν ἑαυτοῦ προεπικινούμενον ἔχων. τὸ μὲν πε-
ραινόμενον οὖν καὶ ἀπὸ τούτου ὅτι ἐστὶν ὁ θεὸς

ἀκίνητός τε καὶ ἀμετάβλητος. ἄπειρον ἔχων τὴν δύναμιν. εἰ γὰρ μὴ ταύτην ἄπειρον εἶχεν, οὐκ ἂν τὸν κόσμον εἶχε τῇ βουλήσει τὴν δύναμιν. ἀκαμάτως διατείνων ἀπὸ πέρατος εἰς πέρας καὶ εὐρώστως καὶ χρηστῶς τὰ πάντα διοικῶν καὶ οἰκονομούμενος. αὐτός τε εἰ μὴ δύναμιν ἄπειρον εἶχεν. οὐκ ἂν ἦν ἄπειρος, οὔτε ἀπερίγραπτος. οὔτε τέλειος. ὅτι δὲ ἄπειρος ἐστὶ καὶ ἀπερίγραπτος καὶ τέλειος, ἄπειρον καὶ τὴν δύναμιν ἔχει. καὶ εἰ ἄπειρον τὴν δύναμιν ἔχει. ἄπειρός ἐστι καὶ ἀπερίγραπτος καὶ τέλειος. οὐδὲν γὰρ πεπερασμένον ἄπειρον τὴν δύνα-

μὲν ἔχει. πάλιν ἐπειδὴ βλέπομεν ὅτι ἕκα-
στον τῶν ὄντων ἐκ τεσσάρων στοιχείων συνίστα-
ται καὶ εἰς ταῦτα ἀναλύεται· ἐζητημένον καὶ
αὐτὰ τὰ στοιχεῖα ἐξ ὕλης καὶ ποιοτήτων
συνίστανται καὶ εἰς αὐτὰ διαιροῦνται λόγῳ
καὶ ἐπινοίᾳ μόνῃ· οἷον ἡ γῆ εἰς τὴν ὕλην καὶ
τὰς ποιότητας, αἵτινές εἰσιν ἐν αὐτῇ ψυχρό-
της καὶ ξηρότης. καὶ βάρος δὲ ἔχει καὶ σχῆ-
μα καὶ χρῶμα. καὶ ἐν τόπῳ μέσῳ τοῦ παν-
τός ἐστιν. ἃ δὴ τῶν συνθέτων ἰδιώματα κα-
θεστήκασιν. ὡσαύτως δὲ καὶ τὰ ἄλλα ἐπὶ τῆς
θεωρεῖν οὕτως ἔχοντα εὑρήσει. διὸ καὶ ἀτελῆ
καὶ μερικὰ ἔτι καὶ σύνθετα, ἀποφαινόμε-

θα ὅτι ὁ θεὸς ἁπλοῦς καὶ ἀμερὴς καὶ
τελειότητά ἐστι· μηδὲν τοιοῦτον ἔχων
ἢ ἐκ διαφόρων πραγμάτων συνιστάμε-
νος ὥσπερ δῆτα καὶ τὰ ἐκ τῶν στοιχείων
συνιστάμενα, καὶ γάρ φησιν ὁ δαμασκη-
νὸς ἐν τοῖς θεολογικοῖς αὐτοῦ κεφαλαίοις
οὐ χρὴ λέγειν ἐπὶ θεοῦ ποιότητα· ἵνα μὴ
σύνθετον αὐτὸν εἴπωμεν ἐξ οὐσίας καὶ
ποιότητος· καὶ γὰρ ἡ σύνθεσις ἐπὶ θεοῦ
λέγοιτο, καὶ λύσις ἔσται ἐν αὐτῷ· σύνθε-
σις γὰρ ἀρχὴ μάχης· μάχη δὲ διαστάσεως·
διάστασις δὲ λύσεως· ἀγάμενοι τοίνυν τὸν ἀ-
σώματον καὶ ἄπειρον καὶ ἀόριστον καὶ

ἄπλουν καὶ ἀπαθῆ. ὅτι φυσικὸς νό-
μος διδάσκει καὶ ἡ γραφὴ κηρύττει οὐκ
ἀνάλυσις ἐπ᾽ αὐτοῦ. τοῦτο γὰρ αὐτοτέλειον
θεοῦ. ἐκ δὲ τούτων συνάγομεν. ὅτι πάντα-
χοῦ ἐστὶν ὁ θεός. τῷ γὰρ ἀπεριγράπτῳ τῇ
ἀπείρῳ καὶ πάντα εἰδότι τὸ πανταχοῦ
παρεῖναι ἀκολουθεῖ. καθὰ γὰρ τοῦ θεολογι-
κωτάτου διονυσίου. τὸ θεῖον ἀμερές ἐστιν.
ὅλον ὁλικῶς πανταχοῦ ὄν. καὶ οὐ μέρος
ἐν μέρει σωματικῶς διαιρούμενον. ἀλλ᾽ ὅλον
ἐν πᾶσι καὶ ὅλον ὑπὲρ τὸ πᾶν. καὶ δοκεῖ
μὲν εἶναι καὶ λέγεται τοῦ ἑνὸς θεοῦ δια-
κρισις καὶ πολλαπλασιασμός. ἔστι δὲ

οὐδὲν ἧττον ὁ ἀρχίθεος καὶ ὑπέρθεος ὑ-
περουσίως τοῦ θεοῦ. ἀμέριστος ἐν τοῖς με-
ριστοῖς ἡνωμένος ἑαυτῷ. καὶ τοῖς πολλοῖς
ἀμιγὴς καὶ ἀπλήθυντος καὶ πάλιν πρὸ
„ αὐτοῦ φησὶν ἡ γραφή. οὐχὶ τὸν οὐρανὸν καὶ τὴν
„ γῆν ἐγὼ πληρῶ λέγει κς. καὶ θρόνος μου
ὁ οὐρανὸς αὐτοῦ λέγεται ἡ δὲ γῆ ὑποπό-
διον. τοῦ λόγου δηλοῦντος ὅτι πανταχοῦ
πάρεστι καὶ πάντα πληροῖ. καὶ οὐδέν ἐστιν
ἔξω τούτου τῆς δημιουργικωτάτης καὶ ζωοποιη-
τικωτάτης περιοχῆς καὶ ἐνεργείας αὐτοῦ.
ἔτι δὲ ἐπιβλέπομεν ὅτι εἰσὶν ἐν τῷ κόσ-
μῳ ζῶντα καὶ σοφὰ καὶ ἀγαθὰ τούτων

δὲ τοῖς λόγοις ἐν ἑαυτῷ περιέχει ὡς πάντων
αἴτιος· καὶ γάρ φησιν ὁ ἀπόστολος· αὐτός
ἐστι τὰ πάντα καὶ ἐξ αὐτοῦ γέγονε καὶ ἐν
αὐτῷ συνέστηκε, καὶ ὡς ὁ θεόπτης ἐν τῇ
ἀποκαλύψει ἰωάννης φησί· κύκλῳ τῶν
πρεσβυτέρων εἰπεῖν αὐτῷ τὰ πάντα ἦσαν
καὶ γεγόνασιν ὅπερ ὁ θεῖος σαφηνίζων μά-
ξιμος, τὰς ἰδέας λέγει ὅτι ἦσαν καὶ τὰς εἰ-
κόνας καὶ τὰ ὁμοιώματα τῶν ἰδεῶν, ἤτοι
τῶν θελημάτων ὅτι γεγόνασιν ἐννοοῦμεν.
ὅτι ὁ τὰ ζῶντα δημιουργήσας καὶ πᾶσαν
τὴν κτίσιν ἐν σοφίᾳ κατασκευάσας, ὡς
ἀγγέλους καὶ αὐτοὺς σοφοὺς ἐργασάμενος.

καὶ τὸ ὁρώμενον φῶς ὑποστήσας, ζωή ἐστι καὶ φῶς καὶ σοφία. καὶ πολλῷ τελεώτερον ἐκεῖ ταῦτα, ἢ ἐν τοῖς ὁρωμένοις φαίνεται, καὶ γάρ φησιν ὁ θεῖος Διονύσιος. αἱ ἐν τοῖς αἰτιατοῖς τελειότητες πολλῷ πρότερον εἰσὶν ἐν τοῖς αἰτίοις. καὶ τοῖς αἰτίοις τὰ αἰτιατὰ περιεκτικῶς καὶ οὐσιωδῶς ἔνεστι. καὶ ὅτι τὰ πάντα ἐν τῷ πάντων αἰτίῳ. καὶ τὰ ἀλλήλοις ἐναντία συνειλημμένως καὶ ἑνιαίως, καὶ μονοειδῶς καὶ ἡνωμένως. καὶ γὰρ ὁ θεὸς τὰ πάντα παραγαγὼν πᾶσι τούτοις ἀψύχοις καὶ λογικοῖς καὶ ἀλόγοις, ἀναλόγως δέ-

δωκε τὰς τελειότητας καὶ ἕκαστον τῶν ὄν-
των ἑνοῦται τῷ θεῷ τῇ ἑαυτοῦ αἰτίᾳ κα-
θόσον αὐτοῦ μετέχει. μετέχουσι γὰρ αὐτοῦ
κατὰ τὸ μᾶλλον καὶ ἧττον. ἀναλόγως δη-
λονότι τῇ ἑαυτῶν τελειότητι. τὰ μὲν γὰρ
ἄψυχα κατὰ τὸ εἶναι μόνον. τὰ δὲ φυτὰ
καὶ κατὰ τὸ ζῆν. τὰ δὲ ἄλογα κατὰ τὸ
εἶναι καὶ ζῆν καὶ αἰσθάνεσθαι. τὰ δὲ λο-
γικὰ κατὰ τὸ εἶναι καὶ ζῆν καὶ αἰσθάνε-
σθαι καὶ διανοεῖσθαι. καὶ ἀρετῆς μετέχειν
σοφίας καὶ δικαιοσύνης καὶ τῶν ἄλλων. ἔστι
δὲ καὶ ἐν τοῖς λογικοῖς διαφορὰ καὶ πε-
ρίεκτασις. οἱ μὲν γὰρ ἄγγελοι τελειότεροι εἰσί

τῆς τῶν θνητῶν σωμάτων συζυγίας, ἀπηλ-
λαγμέναι· οἱ δὲ αὐτοὶ ἀτελέστεροι ἐκείνων
τὰ ἐκ τοῦ σώματος ὑπομένοντες κακά.
διαφέρονται δὲ καὶ οὗτοι ἀλλήλων ὑπερέ-
χειν. ἢ πρὸς τὸν θεὸν ἀφορῶντες διὰ συντό-
νου σπουδῆς ὁμοιοῦσθαι αὐτῷ σπουδά-
ζουσιν. ὅσον γὰρ πρὸς αὐτὸν ἐπιστρεφόμεθα,
τοσοῦτον αὐτῷ ὁμοιούμεθα καὶ ὅσον αὐτῷ
ὁμοιούμεθα τοσοῦτον αὐτοῦ μετέχομεν,
καὶ ὅσον αὐτοῦ μετέχομεν, τοσοῦτον αὐ-
τῷ ἑνούμεθα. τῇ ἀνάρχῳ πάντων αἰτίᾳ
καὶ μονῇ καὶ στάσει. οὐ δήπου οὕτω φησό-
μεθα, ὅτι καὶ ἐν ἡμῖν τελειότητες αἱ αὐταί

ἐστι τῇ ἀκροτάτῃ τῇ τοῦ θεοῦ τελειότητι. οὐ
γὰρ τοιαύτῃ ζωῇ ὁ θεὸς καὶ οἱ ἄλλοι ζῶσιν, ἢ
τῇ αὐτῇ σοφίᾳ ἐστὶν αὐτὸς καὶ ἄλλοι καὶ
ἄλλοι σοφοί. τοῦτο γὰρ ἄτοπον· οὐδὲ τῇ αὐτῇ
ἀγαθότητι ἡμεῖς τε κἀκεῖνος ἐσμὲν ἀ-
γαθοί. ἕπετο γὰρ ἂν καὶ ἡμᾶς θεοὺς καὶ
ἐκεῖνον εἶναι. ὧν γὰρ αἱ τελειότητες ἴσαι,
καὶ αἱ οὐσίαι ἴσαι. διὸ καὶ ἡμῶν καὶ τῶν
ἐν ἡμῖν πάντων ὁ θεὸς ἀσυγκρίτως ὑπερέ-
κειται, ἡμεῖς μὲν γὰρ [illegible] καὶ μετοχι-
κῶς τὰ πάντα ἐσμέν, ὅσαπερ ἂν ἔχωμεν.
ὁ δὲ ἀιδίως καὶ φυσικῶς καὶ κυρίως καὶ
πρώτως ἐστὶν ἀγαθός, σοφός, δημιουργός,

ζωή, ἁγιασμός. καὶ ὅπερ ἂν εἴποι τις
ὡς αἰτία πρώτη καὶ ἀρχοειδεστάτη τῶν
ὄντων. ἀγαθὸς δὲ φύσει ὢν ὁ θεός. οὐδὲ
πολλῶν εἴη τῶν κακῶν αἴτιος. τοῦ γὰρ
κυρίως ἀγαθοῦ ἴδιον ἀεὶ παρέχειν ἀγα-
θά· εἰ δέ τινα κακὰ ὁρῶμεν ἐν τῷ κόσ-
μῳ γινόμενα, ἀλλ' οὔ τ' ἄλλος ἐστὶν αἴτιος
τούτων, οὐδὲ ἑτέρα τις ἀντικειμένη δύνα-
μις. ἀλλ' ἀποχωρούντων ἀπὸ τοῦ ἀγα-
θοῦ ἐν τῷ κακῷ περιεσπόμεθα. καὶ τοῦ-
τό ἐστιν ἡ γένεσις τοῦ κακοῦ, ὥσπερ καὶ
σκότους ἡλίου φωτὸς ὑποχώρησις. ἡμεῖς
οὖν ἐσμὲν αἴτιοι τοῦ γὰρ ἀπαθῆ παθ-

γίζονται διὰ πονηρῶν ἔργων, κολαζόμεθα
μετὰ τὴν τῶν ἁμαρτημάτων ἀναλογίαν. αἳ
δὴ παρ' ἡμῖν μὲν κακὰ εἶναι δοκοῦσι, τὰς
αἰτίας ἀγαθῶν οὐκ ἔχουσιν. εἰ δέ τις ἐπίσταιτο
διακρίνειν ὀρθῶς καὶ ταῦτα ἀγαθὰ εὑρή-
σει. καὶ γὰρ διὰ τὸ συμφέρον γίνονται ἡμῖν.
ἐπεὶ καὶ οἱ ἰατροὶ τέμνουσι καὶ καίουσι
τὸν νοσοῦντα, ἵνα ἀπολάβῃ τὴν ἐξ ἀρχῆς
ὑγείαν, ἡμεῖς οὖν ἐκλογιζόμενοι τὰς αἰτίας
ὑπομένομεν εὐχαριστοῦντες ὠφελούμεθα
ἐκ τούτων, καθαιρόμεθα ἀπὸ τῶν ἁμαρ-
τημάτων καὶ σωφρονιζόμεθα, καὶ οὕτω
γινόμεθα βελτίους. εἰ δ' ὥσπερ λίθοι σκλη-

ροὶ διαμένομεν καὶ ἐπιπλαιόμεν τοῖς κα-
κοῖς ἀθεραπεύτως ἐπεκτεινόμενοι, ἐγ-
καταλιμπανόμεθα ὑπὸ τοῦ θεοῦ· καὶ
ἀποστερούμεθα ἀπ' αὐτοῦ καὶ ἀγόμεθα
καὶ φερόμεθα ὑπὸ τοῦ διαβόλου, ᾧ διὰ
τῶν φαύλων ἔργων προσῳκειώθημεν. τὰ
οὖν γινόμενα παρὰ τοῦ θεοῦ, τὰ μέν ἐστι
κατ' εὐδοκίαν, ὅταν αὐτοῦ τὰ θελήματα
πράττοντες εὐεργετούμεθα ὑπ' αὐτοῦ, τὰ
δὲ κατὰ παραχώρησιν. ὅταν ἁμαρτάνοντες
κολαζόμεθα δι' ἐπανόρθωσιν, τὰ δὲ κατ'
ἐγκατάλειψιν, τὸν τρόπον οὗ εἴπομεν. καὶ
τὰ μὲν γίνονται διὰ σωφρονισμὸν ἑτέρων.

τὰ δὲ διὰ σημείων· καὶ πλείονα τὴν ἀντιμι-
σθίαν ὥσπερ ἐπὶ τῶν ἀποστόλων καὶ τῶν
ἄλλων ἁγίων· καὶ ὅλως οὐδὲν ἔστι χωρὶς
αἰτίας γινόμενον, εἰ καὶ ἡμεῖς τοὺς λόγους
αὐτῶν οὐκ ἴσμεν· οὐδὲ γὰρ στρουθίον εἰς πα-
„ γίδα πεσεῖται ἄνευ θελήματος τοῦ πρὸς
„ ἡμῶν ἐν ταῖς ἐκκλησίαις ἠκούσαμεν. ὅταν δὲ
λέγωμεν ὅτι λυπούμεθα καὶ παροργίζομεν
τὸν θεὸν οὐ δεῖ τὸ πάθος περιάπτειν ἐκείνῳ.
ὥσπερ οὐδὲ χεῖρας καὶ πόδας καὶ τὰ ἄλλα
„ γεγραμμένα· αἱ χεῖρές σου ἐποίησάν
„ με καὶ ἔπλασάν με· καὶ τῆς φωνῆς σου
„ ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ

" τὸ δηλωνοῦν καὶ ἔκρυβεν. οὐδὲ ὀφθαλμοὺς
" καὶ βλέφαρα καὶ ὅρασιν καὶ στόμα καὶ
τὰ τοιαῦτα. ταῦτα γὰρ ἀπὸ σωματικῶν
λαμβάνονται καὶ τοῖς ἀπίνοις ἤδη συγγρα-
μένοι λεγόμενα ἐπὶ θεοῦ κατάλληλα κεκρυμ-
μένην καὶ εὐσεβῆ διάνοιαν. ἀδύνατον
γὰρ αὐτοὺς ὄντας νοεῖν ἢ λέγειν περὶ θεοῦ
εἰ μὴ εἰκόσι καὶ τύποις καὶ συμβόλοις
τοῖς καθ᾽ ἡμᾶς χρησαίμεθα ὁ δαμασκη-
νὸς λέγει. διὸ ὅτι ἡμεῖς ἀφιστάμεθα ἀπ᾽
αὐτοῦ διεστραμμένα προαιρούμενοί τε
" καὶ πράττοντες, διὰ ἔρχεται ἡ ὀργὴ τοῦ
" θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας κτλ

τὸ γεγραμμένον, κἀντεῦθεν ὀδυνώμεθα
καὶ πιεζόμεθα ὅπερ καὶ ἐπ' ἄλλων συμ-
βαίνει· ὅταν τοῖς δεσπόταις αὐτῶν ἀπειθῶ-
σι, διατοῦτο λέγομεν ἀνθρωπίνῃ συνηθεία, ὅτι
ἐλυπήσαμεν τὸν θεὸν καὶ ὠργίσθη ἡμῖν ὁ θεός
οὐ πρὸς τὸ πλέον οὖν τῷ θεῷ πάθος ἀπογόντη
τοιοῦτον. αὐτὸς μὲν γὰρ ἀπαθής ἐστιν ἡμεῖς
δὲ αὖ μὲν οἱ ἐμπαθεῖς καὶ θνητοί· ἀφ' ὧν
ταῦτα εἴληπται· ὥσπερ καὶ ὅταν λέγω-
μεν· ἵλεως ἡμῖν ὁ κ(ύριο)ς ἐγένετο, καὶ ἡ κα-
ταφυγὴ ἐγενήθη ἡμῖν· καὶ ὁ θεὸς ἠγάπη-
σεν ἡμᾶς· οὐ δεῖ τι συμβεβηκὸς ἐπ' ἐκεί-
νου τιθέναι· οὐδὲ γὰρ μετὰ τὸ πρότερον κα-

ψυχῇ ἐγγύτερον ὕστερον. οὐδὲ μὴν πρότερον
ἀγαπῶν μεταξὺ δὲ αὐτὸν ἠγάπησεν. πάλαι γὰρ
ὡς πρὸ καταβολῆς κόσμου ἠγάπησεν οὓς
προώρισεν καθὼς ἡ γραφὴ διδάσκει. ἀλ-
λὰ περὶ ἡμᾶς γίνεται ἡ κίνησις καὶ ἡ με-
ταβολή. ἐπειδὰν γὰρ ἐπιστρεφώμεθα πρὸς
αὐτόν· καὶ ἐπισκοπῶμεν αὐτόν, τότε καὶ αὐτοὶ
λέγομεν ὅτι ἠρξάμεθα ἀγαπᾶσθαι ὑπ'
αὐτοῦ πεῖραν τῆς φιλανθρωπίας αὐτοῦ λαμ-
βάνοντες, τῇ αὐτοστάσει δηλονότι καὶ τῇ
ἐγγύτητι τῇ πρὸς αὐτόν, ἢ μισούμενοι
ἢ ἀγαπώμενοι. πάλιν δὲ ἐγγίζομεν καὶ
ἀφιστάμεθα αὐτοῦ, οὐ τόπων διαστήμασι,

καὶ γὰρ ὁ θεὸς πανταχοῦ, ἀλλ' ὁμοιότητι προ-
σερχόμεθα αὐτῷ καὶ ἀνομοιότητι ἀφι-
στάμεθα αὐτοῦ. καὶ γὰρ οἷον ἔπι σπέρμα
ταῖς ἡμετέραις ψυχαῖς ὁ δημιουργὸς τῆς
φύσεως ἐνεφύτευσε τῆς πρὸς αὐτὸν ἀνα
τάσεως καὶ ὑπ' αὐτοῦ δυνάμεθα πρὸς τοῦ
μίμησιν. γίνεσθαι γάρ φησιν οἰκτίρμονες ὡς
" ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος. καὶ γίνεσθε μιμη-
" ταὶ θεοῦ ὡς τέκνα ἀγαπητά. καὶ ὁ θεῖος
διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων, τὸν
ὑπὲρ πάντα φησὶ θεὸν καθὸ αὐτός ἐστιν οὐ-
δενὶ φασὶν ὅμοιον. αὐτὸν δὲ ὁμοιότητα θείαν
δωρεῖσθαι τοῖς ἐπ' αὐτὸν ἐπιστρεφομένοις,

καὶ πάλιν· ταῦτα τοίνυν ῥητέον ὅμοια θεοῦ
τὰ καλὰ θεῖαν εἰκόνα καὶ ὁμοίωσιν. οὐδὲ
γὰρ αὐτοῖς τὸ ἐν θεῷ ὅμοιον ὅτι μὴ δι' αὐτὸς τὴν
ἰδίαν εἰκόνι ὅμοιος. αὕτη ἡ ὁμοίωσις τὸ πρώ-
τως ἐστὶ τῶν ἐν ἡμῖν παρὰ θεοῦ ἀγαθῶν. εἴ-
τε γὰρ ἅγιοι, εἴτε θεοί, εἴτε ὄντως, εἴτε
κύριοι. καθ' ὁμοίωσιν ἐδημιουργήθη-
μεν. καθάπερ γάρ φησιν ὁ ἀπόστολος
ἀναμορφοῦσθε ἐν καινότητι τοῦ νοὸς ἡ-
μῶν τῶν γὰρ καινῶν αὐτῷ λέγοντας ταῦτα
τῶν ἀνακαινιζομένων ἐν τῇ ἐπιγνώσει τοῦ
θεοῦ κατὰ μίμησιν αὐτοῦ τοῦ κατ' εἰκό-
να κτίσαντος αὐτόν, οὐ τοίνυν ὁ θεὸς μετὰ

βάλλει καθάπερ ἐλέγομεν· ἀλλ᾽ ἡμᾶς οὗ μὲν οἱ μεταβάλλονται. καθὰ δὴ καὶ τὸ φῶς· τραχὺ μὲν τοῖς ἀσθενέσιν ὀφθαλμοῖς, λεῖον δὲ τοῖς καλῶς ἔχουσι διὰ τὴν ἑαυτῶν ἀσθένειαν καὶ μεταβολήν· οὐ μὴν διὰ τὴν ἐκείνου. τὸν ὅμοιον δὴ τρόπον ὅταν καὶ δημιουργὸς λέγηται καὶ βασιλεὺς καὶ πῶς οὐχ ὕστερον αὐτῷ ἐπεγένοντο· ἀλλ᾽ ὥσπερ τὰ ἐν χρόνῳ ἡ κίνησις θεωρεῖται. αὐτοῦ ἀϊδίως ὄντος πρὸ πάντων τῶν αἰώνων καὶ δημιουργοῦ καὶ προνοητοῦ. καὶ πῶς καὶ βασιλέως. λέγονται δὲ ὑφ᾽ ἡμῶν αὐτῷ. ὅτι ἐν χρόνῳ ἐκτίσθημεν ὅτε καὶ πρὸς ἡμᾶς ταῦτα

λέγεται

λέγεται ἡ γὰρ κλίσις περὶ τῶν μὲν ἐν τῷ δη-
μιουργῷ, ἀϊδίου χῶς κλίσις καὶ ποίησις. ἀλλ'
ὡς λόγος καὶ παράδειγμα. ὥστε δημιουρ-
γὸς καὶ ὁ θεὸς πρὸ πάντων τῶν αἰώνων, ἀσχέ-
τως καὶ ἀπολύτως. ἡ δὲ σχέσις ἡ πρὸς
τὰ δημιουργηθέντα, ἔχει πρὸς ὅρον ἔγχρο-
νον λεγομένη διὰ ταῦτα καὶ ἔστι καὶ λέγεται.
εἰ δὲ τὶς ταύτην ἀϊδίως ἐν τῷ θεῷ θεωρεῖ ἀ-
ναγκασθήσεται καὶ τὰ δημιουργήματα
τῷ θεῷ λέγειν συναΐδια. τέλειος οὖν ὁ θεὸς ὑ-
πάρχων καὶ ἀϊδίως δυνάμενος καὶ κτίζειν
καὶ προνοεῖσθαι ὕστερον. καὶ δημιουργὸς
παρ' ἡμῶν καὶ προνοητὴς ἐκλήθη, δημιουρ-

γενηθέντων τῶν ὄντων ὅτι ἡ σχέσις αὕτη πρὸς
ἄλλα ἀποδίδοται. τῶν γὰρ δημιουργημάτων
οὐκ ὄντων δῆλον ὡς οὐδὲ δημιουργίαν
ἂν ἐγένετο, οὔτε μὴν συντήρησις αὐτῶν.
Καὶ γάρ φησιν ὁ τῶν γραπτῶν θεόδωρος, τὴν
γὰρ ἂν εἴη πρόνοια μὴ ὄντος τοῦ σωζομέ-
νου. τῶν γὰρ ἕνεκά του ἡ πρόνοια. ὁ δὲ θεὸς
γρηγόριος ὁ νύσσης. ὥσπερ οὖν οὐκ ἂν ἰα-
τρὸς ἦν φησιν εἰ μὴ τῶν νοσούντων χρεία ἦν
οὐδὲν ἐλεήμων καὶ οἰκτίρμων καὶ τὰ
τοιαῦτα καλῶν ὀνομάζετο, εἰ μὴ διὰ τὸν οἰκ-
τιρμοῦ τε καὶ ἐλέους δεόμενον, οὕτως οὐδὲ
παντοκράτωρ εἰ μὴ πᾶσα ἡ κτίσις τοῦ

περικρατοῦντος αὐτὴν καὶ ἐντὸς εἶ-
ναι συντηροῦντος αὐτὴν ἐδέετο. καὶ
ὁ δαμασκηνός φησι. πρόνοιαν ἐστὶν ἡ
ἐκ θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια
πόδας δὲ καὶ βάσεις καὶ χεῖρας καὶ
τὰ τοιαῦτα, ὅταν ἐπὶ θεοῦ λέγωμεν, κατὰ
τὸ ἡμέτερον, ὡς ἔφαμεν, ἔθος, ἀναλό-
γως τοῖς κατὰ τὸ σωματικώτερον εἰλημ-
μένοις καὶ τὰ νοήματα ἐκλαμβάνο-
μεν. ἀπὸ μὲν γὰρ τῆς τῶν ποδῶν βάσεως
τὴν παρουσίαν δηλοῦν ἡ γραφὴ βούλε-
ται, ἢ τὴν πρὸς ἐπικουρίαν τῶν δεομένων,
ἢ τὴν πρὸς ἄμυναν τῶν ἐχθρῶν ἢ ἄλλην

τινὰ πρᾶξιν ἐκ τοῦ παρ' ἡμῖν διὰ τῆς τῶν
ποδῶν χρήσεως ἐπιτελεῖσθαι τὴν ἄφιξιν
χεῖρας δὲ τὸ ἀνυσιμώτατον ἐν πᾶσι καὶ
ἀθρόον αἰνιττόμεθα τῆς τοῦ θεοῦ ἐνεργείας
καὶ δυνάμεως· καὶ γὰρ ἡμεῖς τὰ χρειώδη
καὶ μάλιστα τὰ τιμιώτερα· διὰ τῶν οἰκείων
κατορθοῦμεν χειρῶν· δεξιὰν δὲ λέγομεν
τὴν ἐπὶ τοῖς ὁσίοις παρ' αὐτοῦ βοήθειαν
ἐνδεικνύμενοι· ἀπὸ τούτου καὶ ἡμεῖς μᾶλ-
λον ἐπὶ τῶν εὐσχημονεστέρων καὶ τιμιω-
τέρων καὶ πλείστης ἰσχύος δεομένων τὴν δε-
ξιὰν κεχρῆσθαι. ὀφθαλμοὺς δὲ καὶ ὅρα-
σιν καὶ βλέφαρα λέγοντες τὴν περὶ ἀ-

πάντα ἐποπτικὴν αὐτοῦ δύναμιν καὶ
τὸ ἀπαράβλεπτον τῆς αὐτοῦ γνώσεως βουλό-
μεθα νοεῖν, ἀπὸ τοῦ παρ' ἡμῖν διὰ ταύτης
τῆς αἰσθήσεως ἐντελεστέραν γνῶσιν τε
καὶ πληροφορίαν γίνεσθαι· στόμα δὲ
καὶ λαλιὰν λέγομεν τὸ ἐνδεικτικὸν τῆς
βουλήσεως αὐτοῦ ἐκ τοῦ παρ' ἡμῖν διὰ
στόματος καὶ λαλιᾶς σημαίνεσθαι τὰ
ἐγκάρδια νοήματα καὶ ἁπλῶς εἰπεῖν
τὰ τοιαῦτα πάντα ὅσα ἐπὶ θεοῦ λέγομεν ἀπὸ
τῶν καθ' ἡμᾶς ἐνεργειῶν τὰ ὑπὲρ ἡμᾶς
βουλόμενοι νοεῖν· καὶ τὰ καθ' ἑαυτοὺς
μειζόνων ὑπόδειγμα ποιούμεθα καθα-

περ οἱ ἐν μικρῷ πίνακι τὸν ὁποῖον κα-
ταγράφοντες κύκλον. τὸ δ' αὐτὸ καὶ ἐπὶ
πάντων ὀνομάτων συμβαίνει τῶν ἐπὶ
θεοῦ λεγομένων. ἀληθῶς οὖν ὅπερ
ἐξ ἀρχῆς ἐλεγόμεν, ἀνώνυμος ἐστὶν ὁ θεὸς
ὡς ὑπὲρ πᾶν ὄνομα, καὶ τῆς οὐσίας αὐ-
τοῦ οὐκ ἔστιν ὅρος. εἰ γὰρ ὁ ὅρος περιεκ-
τικός ἐστι καὶ δηλωτικὸς τῆς οὐσίας τοῦ ὑ-
ποκειμένου πράγματος, ἐφ' οὗ λέγεται,
πῶς τὸ ἄπειρον καὶ ἀπερίγραπτον ὑπό
τινος ὅρου καὶ ὀνόματος δηλωθήσεται,
καὶ περιληφθήσεται; καὶ ἄλλων ὄντων
αἱ γνώσεις, πῶς νοηθήσεται τὸ ὑπὲρ πάντα

τὰ ὄντα καὶ πάντων οὐσίαν καὶ ὑπὲρ αὐτὸ
τὸ εἶναι ὄν; ὁ δὲ ὑπὲρ πάντων ἐστὶν οὐσίαν,
δῆλον ὅτι καὶ ὑπὲρ πάντων ἐστὶ γνῶσιν. τρό-
πον δὲ ἕτερον ἀπὸ τῶν ἐνεργειῶν καὶ νοεῖ-
ται καὶ ὀνομάζεται, καὶ πολυώνυμος λέ-
γεται. καὶ γὰρ ὁ καταφατικώτερον αὐτοῦ
ὂν εἶναι λεγόμενον ὡς τὸ ἐγώ εἰμι ὁ ὤν.
ἁπλῶς ὂν λεγόμενον. ὡς πάντα γνωρίζων τῶν
ὄντων καὶ ὅτι ἦν ἀεὶ καὶ ἔστι καὶ ἔσται οὐ
τὸ ἦ ὂν ἐστὶ πιστεύομεν. εἰ δὲ ὀνομάζομεν,
οὐ τὴν φύσιν αὐτοῦ δηλοῦμεν ἀλλ' ὅτι
θεὸς καὶ περιέπεται ὄντα, ἢ ἐκ τοῦ αἴθειν
ὃ ἐστὶ καίειν ἐπλήρωται τὸ ὄνομα καὶ γὰρ

ὁ θεὸς πῦρ πᾶσαν μοχθηρίαν καταναλίσκον·
ὅτι τῶν πραγμάτων σωστικός ἐστι καθότι πε-
φύκασιν. ἢ ὑπὸ τοῦ θεᾶσθαι τὰ πάντα.
ἀθέατος γὰρ ἐστὶ καὶ πάντων ἐπόπτης.
ἢ σοφὸν λεγόμενον ἀπὸ τῆς ἐμφαινομένης
τῷ κόσμῳ σοφίας τοῦτο λαμβανόμενον. ὡς
ὁ μέγας βασίλειος ἐν πρώτῳ τῶν προοιμίων
εἴρηκεν. καὶ ὅλως τὸ πῶς ἔστησε μὲν ἀρχὴν
ὁ δαυὶδ αὐτοῦ, περὶ τῆς ἐμφαινομένης τῷ κό-
σμῳ σοφίας φησί· μονονουχὶ φωνὴν ἀφιεί-
σης διὰ τῶν ὁρωμένων ὅτι παρὰ θεοῦ γέγονε.
περὶ ταύτης γὰρ καὶ οἱ προφῆται διαπο-
ροῦσιν ὁπόση τις οὖσα τυγχάνει, καθα-

περ καὶ πολυμαθέστατος ἔφησε σίραχ·
ῥίζα σοφίας τίνι ἀπεκαλύφθη· καὶ τὰ
πανουργεύματα αὐτῆς τίς ἔγνω· εἷς ἐ-
στι σοφός· φοβερὸς σφόδρα καθήμενος
ἐπὶ τοῦ θρόνου αὐτοῦ. αὐτὸς ἔκτισεν αὐ-
τήν. καὶ ἐξέχεεν ἐπὶ πάντα τὰ ἔργα αὐ-
τοῦ. ἢ δύναμιν εἴπομεν αὐτόν. τοῦτο δη-
λοῦμεν. ὅτι συντηρητικὸς τῶν γινομένων
ἐστί· καὶ τῷ τοῦ συνέχεσθαι ταῦτα χορηγεῖ
δύναμιν· καὶ πάλιν ἀπὸ τῆς συντηρήσεως
τῶν ὄντων πρόνοιαν αὐτοῦ καλοῦμεν. ὅτι
δὲ καὶ τῶν ἁπάντων πρόνοιαν ποιεῖται ὡς
ὁ μέγας φησὶν ἀθανάσιος· ἐν τῷ κατὰ ἀ-

: ÷

ρφανῶν τ' εἰπῶ. φῶς δὲ ὡς ποιητικοῦ φω-
τὸς λεγόμενον. καὶ ὡς [illegible] ψυχῶν
καὶ λόγῳ καὶ βίῳ καθαρομένων. εἰ γὰρ
καὶ σκότος λέγεται ἡ ἄγνοια καὶ ἡ ἁμαρ-
τία. φῶς ἂν εἴη ἡ γνῶσις καὶ βίος ὁ ἔν-
θεος. καὶ γὰρ καὶ ὁ θεῖος Διονύσιος ἐν τῇ ἀ-
ναπτύξει τῆς θεωνυμικῆς φωτωνυμίας,
Φῶς φησι λέγεται τὸ ὑπὲρ πᾶν φῶς ἀγα-
θὸν διὰ τὸ ἄγνοιαν καὶ πλάνην ἀπελαύ-
νειν. καὶ γνώσεως τοὺς νοεροὺς ὀφθαλ-
μοὺς ἐμπιπλᾶν. ἐγὼ γάρ φησι φῶς εἰς τὸν
" κόσμον ἐλήλυθα καὶ λύχνος τοῖς ποσί
" μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου.

καὶ φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς·
ζωὴν δὲ πάλιν λέγομεν· ὅτι ὡς φῶς ἐστὶ
καὶ πάσης φύσεως λογικῆς καὶ ἀλόγου
σύστασις· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμε-
θα καὶ ἐσμέν· πάντα δὲ ὡς πάντων αἴ-
τιος λέγεται· οὐ μὴν ἡ οὐσία αὐτοῦ διὰ
τούτων δείκνυται· οὕτω γάρ φησιν ὁ δαμα-
σκηνός· ὅτι ὡς αἴτιος πάσης οὐσίας καὶ
πάντων τῶν ὄντων λέγεται καὶ ὢν καὶ οὐ-
σία· καὶ ὡς αἴτιος λόγου παντὸς καὶ σο-
φίας λογικοῦ τε καὶ σοφοῦ· λέγεται λόγος
καὶ λογικός· σοφία καὶ σοφός· ὁμοίως καὶ
νοῦς καὶ νοερός· ζωὴ καὶ ζῶν· δύναμις

καὶ δίκαιος. καὶ ἐπὶ πάντων τῶν λοιπῶν
ὁμοίως. εἰ τοίνυν ἀπὸ τῶν καταφατι-
κῶν ὀνομάτων ἡ οὐσία αὐτοῦ οὐ δεικ-
νυται. πολλῷ μᾶλλον ἀπὸ τῶν ἀποφατι-
κῶν τοῦτο οὐκ ἔσται. οὐδεμία γὰρ ἀπόφα-
σις τί ἐστι καὶ τὴν οὐσίαν τοῦ δεῖνος ἀλλὰ τί
οὐκ ἔστι δηλοῖ. οὕτως ἀναίρεσιν οὐχ οὕτως
θέσιν. εἰ γὰρ ἀνούσιον αὐτὸν λέγοιμεν.
ἢ ἄναρχον ἢ ἄχρονον ἢ ἀόρατον ἢ ἄφ-
θαρτον ταῦτα δηλοῦμεν, ὅτι ὑπὲρ πᾶσαν
οὐσίαν ἐστί. καὶ ἀρχὴν καὶ χρόνον καὶ ὅρα-
σιν καὶ φθοράν. οὐχ ὅτι μὴ ὤν ἐστι ὡς τὸ
μηδαμῇ μηδαμῶς ὄν. ἀλλ' ὅτι πάντων

τῶν ὄντων ὑπεροχικῶς ἐξῄρηται. καὶ οὐ-
δὲν τῶν ὄντων ἐστὶν ἀλλ' ὑπὲρ τὰ πάντα.
ὡσαύτως καὶ ὑπέρθεον λέγοντες ὑπὲρ
πάντας τοὺς κατὰ χάριν θεοὺς δηλοῦμεν
αὐτὸν εἶναι. καὶ ἀκίνητον ὅτι οὐκ ἔστι
κινητὸς ὑπ' ἄλλου κινητικὸς δὲ μᾶλλον
ἁπάντων. καὶ ἀσώματον ὅτι οὐκ ἔστι
σῶμα. καὶ ἀγέννητον ὃ δηλοῖ τὸ ἄκτι-
στον δι' ἑνὸς ν γραφόμενον. τὸ ἀγέννητον
δὲ ἐπὶ πατρὸς διὰ δύο ὅτι οὐχ ὑπό τινος τὴν
γένεσιν καὶ τὸ εἶναι εἴληφε. καὶ ἄπειρον
δὲ ὅτι οὐκ ἔχει πέρας. οὐδ' ἄν τινι δια-
νοίᾳ περιλαμβάνεται. τέως ἐκ τῶν κα-

καταφατικῶν πρεπωδέστερον τὸν θεὸν ὀνομάζειν. αἱ μὲν γὰρ καταφάσεις ὕπαρξιν καὶ ὂν δηλοῦσιν· αἱ δ' ἀποφάσεις στέρησιν καὶ μὴ ὄν. τιμιώτερον δὲ καὶ βέλτιον τὸ ὂν τοῦ μὴ ὄντος. καὶ ἡ ὕπαρξις τῆς ἀνυπαρξίας καὶ στερήσεως. ὅτι καὶ ἡ ὕπαρξις καὶ τὸ ὂν τῷ ἀγαθῷ ἀνήκει. τὸ δὲ μὴ ὂν καὶ ἡ στέρησις τῷ κακῷ. τὸ μὲν γὰρ ἀγαθὸν ὂν καὶ ὄντος καὶ ὑπάρξεως αἴτιον. τὸ δὲ κακὸν μὴ ὄν. καὶ ἀγαθοῦ καὶ ὄντος στέρησις καὶ πάλιν ἐκ τῶν καταφατικῶν τοῖς τιμιωτέροις καὶ πλησιάζουσιν αὐτῷ οἰκειοτέρως ὀνομασθήσεται. τιμιώτερα δὲ τὰ μᾶλλον

αὐτοῦ μετέχοντα. βέλτιον οὖν τούτοις αὐ-
τὸν ὀνομάζειν, ἥλιον, φῶς, ἡμέραν, ζωήν.
πῦρ, πνεῦμα, ὕδωρ ὡς ζωτικοῦ ἀγαθοῦ ὄν-
τα. ἢ σκότος, καὶ νύκτα. καὶ τἄλλα
τἀναντία τοῖς εἰρημένοις. ὀνομάζεται γὰρ
ὁ θεὸς καὶ νὺξ καὶ σκότος, ἃ καταφατι-
κὰ μέν ἐστι δύναμιν δὲ ὑπεροχικῆς
ἀποφάσεως, ἔχουσι, σκότος γὰρ τὸν θεὸν
λεγόμενον διὰ τὸ ἀπόκρυφον καὶ ἄγνω-
στον τῆς οὐσίας αὐτοῦ. οὐχ ὅτι ὁ θεὸς σκό-
τος ἐστίν, ἀλλ᾽ ὅτι οὐκ ἔστι φῶς οἷον τὸ ὁ-
ρώμενον δηλονότι ἀλλ᾽ ὑπὲρ ἅπαν φῶς.
κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ φῶς πάλιν

λεγόμεθα, ὅτι δηλονότι οὐκ ἔστι σκότος. οἷον τὸ νοούμενον. βουλόμενοι δὲ αὐτὸ τῶν παθῶν, ἢ ἂν ἐπὶ τῶν φανταζομένων φαντασίαν, ἀποπέμπεσθαι ὡς ὑπὲρ πάθη οὐσίαν καὶ νόησιν ὄντος. πολλάκις δὲ καὶ ἐξ ἀμφοτέρ(ων) καταφάσεως καὶ ἀποφάσεως αὐτὸν ὀνομάζομεν. ὡς ὅταν λέγωμεν, ἡ ὑπερούσιος οὐσία, ἡ ὑπέρθεος θεότης, ἡ ὑπεράρχιος ἀρχή. ἵνα διὰ μὲν τοῦ μέρους τῆς ἀποφάσεως ὑπὲρ τὰ ὄντα καὶ τοὺς κατὰ χάριν θεοὺς καὶ τὴν ἀρχὴν ὁποίαν ἂν ἡμεῖς εἴποιμεν δηλώσωμεν εἶναι. ὡς δ' ὑπέρτερον τούτων πάντων αὐτὸν ἐννοῶμεν

καὶ μὴ τὸ μεγαλεῖον τῆς θείας φύσεως, ἔς
τινα καταστῶμεν σωματικὴν φαντα-
σίαν. διὰ δὲ τοῦ μετέχειν τῆς καταφάσεως.
ἀληθῆ οὐσίαν καὶ ἀληθῆ θεὸν καὶ ἀληθινὴν
ἀρχὴν αὐτὸν καταλαμβάνομεν. καὶ πά-
λιν στέρησιν ἀτελοῦς νοήσεως ἀπ' αὐτοῦ
ἀφαιροῦμεν. ὅθεν καὶ ὁ μὲν δαμασκη-
νὸς τῇ καταφατικῇ μᾶλλον ἐπὶ θεοῦ ἤθε-
λει θεολογίᾳ· ὁ δὲ θεῖος διονύσιος τῇ ἀπο-
φατικῇ, καὶ κατὰ τοῦτο διαφωνεῖν ἀλλή-
λοις δοκοῦσιν. ἀλλὰ κατὰ ταύτην τὴν ἔν-
νοιαν τοῖς ὀρθῶς ὁρῶσι καὶ σφόδρα συμ-
φωνοῦσιν. ὥσπερ οὖν ἐλέγομεν ἀνώνυ-

μος μὲν ἐστὶ ὁ θεὸς κατὰ τὴν οὐσίαν, πολυ-
ώνυμος δὲ κατὰ τὰς ἐνεργείας. τὸ γὰρ θεῖον
ὅλη ποτ' ἐστὶν ἐκεῖνο ἐν μὲν τῇ φύσει· ταῖς ἐ-
νεργείαις δὲ ποικίλον. ἐπεὶ γὰρ ἀπὸ τῶν ὁ-
ρωμένων, ὁ θεὸς καθορᾶται κατὰ τὸν θεῖον
ἀπόστολον· πολλὰ δὲ τὰ ὁρώμενα καὶ δια-
φορα, εἰκότως καὶ πολλοῖς ὀνόμασιν αὐτὸν
ὀνομάζομεν ὡς αἴτιον. καὶ γὰρ ὀνομάτων
ὕλην ἀπάντων εἰρημένους κατὰ τὸν θεῖον
γρηγόριον· ὅς φησι τὰ ἐν τῷ παντὶ ἐνθεω-
ρούμενα θαύματα τῶν θεολογικῶν ὀνο-
μάτων τὴν ὕλην δίδωσι· δι' ὧν σοφόν, δυ-
νατόν, αἴτιον ἀγαθόν, μακάριον, αἴσιον,

κριτικῶ, ὀργὴ· καὶ τὰ τοιαῦτα καλ' ὀνομά-
ζομεν· τὰ τοίνυν ὀνόματα καὶ νοήματα
τὰ ἀπὸ τῶν ἐνεργειῶν ταῖς ἡμετέραις δια-
νοίαις συλλαμβανόμενα κατὰ τὸν τρόπον
καὶ τὴν διάλεκτον τὴν λατίνου τὰ πολλὰ
καὶ διάφορα ὄντα, τὰ μὲν ἀρρενικῶς προ-
φερόμενα· τὰ δὲ θηλυκῶς, τὰ δὲ οὐδετέ-
ρως, τοῦ μεγάλου τῆς φύσεως ὄντος ἐν
δηλητικὰ κατὰ τὸν μέγαν βασίλειον· ἐν
τρίτῳ τῶν ἀντιρρητικῶν· καὶ τὸν αὐτὸν ἡ-
μῖν ὑποσημαίνουσιν ὅτι καὶ εἰς διάνοιαν
ἡμᾶς αὐτὸ δ' ἄγουσιν, εἰς ἔννοιαν τῆς ἀληθοῦς
ἰνδάλματα ὡς θεολόγος λέγει γρηγόριος.

οὐκ ἀναγκαζομένοις διὰ τὴν τῶν ὀνομάτων

προφορὰν καὶ τὴν τῆς διανοίας ἀλλάττειν,

νοεῖν ἢ ἄρρεν, ἢ θῆλυ λέγηται· ἀγαπᾶσαν

νόησιν καὶ πᾶσαν ἀλλάττειν τοῖς ἀληθέσι

καὶ φθορὰ συμβαίνουσαν παντελῶς ἀπε-

λαύνοντας. ὅπερ ἐστὶ μὲν καὶ ἀναγκαῖον.

διδάσκει δὲ πάλιν καὶ ὁ αὐτὸς μέγας βα-

σίλειος· ἐν μιᾷ τῶν πρὸς Εὐστάθιον ὅτι τὰ θεο-

πρεπῆ νοήματά τε καὶ ὀνόματα ἐφ' ἑνὸς ὑπο-

κειμένου χαρακτηρίζει τὴν διάνοιαν. καὶ ὅσα-

περ ἂν τούτοις ὀνόματα ἔνεστι διὰ παν-

των τὸ σημαινόμενον, καὶ ὅτι εἴ τις τὸν

αὐτὸν ἐνεδέξατο οὐ καὶ διὰ τῶν λοιπῶν ὀνο-

μάτων. ἐν δὲ τῷ κατὰ τὸν νομικὸν πρώτῳ.
ρήτως οὕτω φησὶ λέγει· ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν
τοῖς περὶ ἑαυτοῦ λόγοις τὴν φιλανθρωπίαν τῆς
θεότητος καὶ τὴν ἐξ οἰκονομίας χάριν τοῖς
αὐτοῖς παραδηλῶν· ἰδιώμασί τισι τοῖς
περὶ ἑαυτοῦ θεωρουμένοις ἀπεσήμηνε
ταύτην. θύραν ἑαυτὸν λέγων καὶ ἄρτον καὶ
ἄμπελον καὶ ποιμένα καὶ φῶς. οὐ πο-
λυώνυμός τις ὤν. οὐ γὰρ πάντα τὰ ὀνόματα
ἐς ταυτὸν ἀλλήλοις φέρει. ἄλλο γὰρ τὸ ση-
μαινόμενον φωτὸς καὶ ἄλλο ἀμπέλου.
ἄλλο ὁδοῦ καὶ ἄλλο ποιμένος ἀλλ᾽ ἓν ὢν κα-
τὰ τὸ ὑποκείμενον καὶ μία οὐσία καὶ ἀ-

πλὴν καὶ ἀσύνθετος ἁπλοῦς τε ἁπλῶς ἑαυτὸν

ὀνομάζει· ταῖς ἐπινοίαις διαφερούσαις

ἀλλήλων ταῖς προσηγορίαις μεθαρμοζό-

μενος, κατά γε τὰς τῶν ἐνεργειῶν διαφο-

ρὰς καὶ τὰς πρὸς τὰ εὐεργετούμενα σχέ-

σιν διάφορα ἑαυτῷ καὶ τὰ ὀνόματα τίθε-

ται. φῶς μὲν γὰρ ἑαυτὸν τοῦ κόσμου λέγει

τότε ἀπρόσιτον τῆς ἐν θεότητι δόξης δια-

σημαίνων, καὶ ὡς τῇ λαμπρότητι τῆς γνώ-

σεως τοὺς κεκαθαρμένους τὸ ὄμμα τῆς

ψυχῆς καταυγάζων· ἄμπελον δὲ ὡς τοὺς

ἐν αὐτῷ κατὰ πίστιν ἐρριζωμένους· ἐπ' ἔρ-

γων ἀγαθῶν καρποφορίαις ἐκτρέφων. ἄρ-

τον δὲ ὡς οἰκειοτάτην τροφὴν τοῦ λόγου τυγχα-
νων τῷ διακρατεῖν τὴν σύστασιν τῆς ψυχῆς·
καὶ τὸ ἰδίωμα αὐτῆς διασώζειν καὶ ἀνα-
πληρῶν ἀεὶ παρ᾽ ἑαυτοῦ τὸ ἐνδεὸν καὶ πρὸ
τὴν ἐξ ἀλογίας ἐγγινομένην ἀρρωστίαν
οὐκ ἐῶν ἀποφέρεσθαι καὶ οὕτως αὐτῆς
τῶν ὀνομάτων ἕκαστον ἐφοδιῶν, ποικί-
λας δ᾽ ὥσπερ τὰς ἐπινοίας· ἑνὸς τοῦ κατὰ
τὴν οὐσίαν τοῖς πᾶσιν ὑποκειμένου· τοῦ-
το τοῦ θεοῦ καταληπτὸν μόνον ἡ ἀπειρία κατὰ
τὸν ἐν θεολογίᾳ γρηγόριον· καὶ ὡς ὁ νύσσης
φησὶν ἐν μόνῳ τῷ μὴ δύνασθαι καταλη-
φθῆναι γινώσκεται· τὸ γὰρ περὶ αὐτοῦ ἰδιαί-

ταλον γνώρισμα τὸ παντὸς χαρακτηριστι-
κοῦ νοήματος ὑψηλοτέραν αὐτοῦ εἶναι
τὴν φύσιν τούτου δὲ οὕτως ἔχοντος. εἴ τις
ἀπορείη πῶς ἑτέρωθεν ἡ γραφὴ λέγει ὅτι
τὸν θεὸν οἱ προφῆται εἶδον. καὶ τὸ εἶδον
„ τὸν κύριον σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑ-
„ ψηλοῦ καὶ ἐπηρμένου καὶ τὰ ὅμοια τού-
τοις λέγουσι διὰ τούτου τὸ ἄπειρον εἶναι τὸν
θεὸν ἀναιρεῖται. φησὶ γὰρ ἐν τοῖς θεολογικοῖς
αὐτοῦ λόγοις ὁ θεολόγος γρηγόριος. ὅτι εἰ
καί ἔγνω τις θεὸν ἢ ἐγνωκέναι μεμαρτύρηται
τὸ τοσοῦτον ἔγνω, ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμ-
φθέντος φανῆναι φωτοειδέστερος. καὶ τὸ ὑπερ-

βάλλον τέλειον

βεβαίου τέλειον ἐνομίσθη, οὐ τῇ ἀληθείᾳ.
τῇ δὲ τοῦ πλησίου δυνάμει παραμετρού-
μενον. ἀλλὰ καὶ τὰ τῶν προφητῶν θεω-
ρίας φαντάσματα ἐν τούτοις λέγει καὶ
περὶ τῶν ῥηθέντων καθολικῶς ἐκφέ-
ρει τοῦ λόγου. οὕτω καὶ ταῦτα εἴπε φαν-
τασία της τῶν ἡμετέρων μόνοις θεωρητοῖς
ἁγίοις. εἴτε κυκλοειδὴς ὄψις. εἴ-
τε τοῦ ἡγεμονικοῦ τύπωσις συγγινομέ-
νη τοῖς μέλλουσιν ὡς παροῦσιν. εἴτε ἡ
ἄλλο προφητείας εἶδος ἀπόρρητον οὐκ
ἔχω λέγειν. ἀλλ' οἶδεν ὁ τῶν προφητῶν θεὸς
καὶ οἱ ταῦτα ἐνεργούμενοι. πλὴν οὔτε

ζ

οὔτοι περὶ ὧν ὁ λόγος οὔτε τις ἄλλος τῶν

κατὰ τούτους ἔτι ἐν ὑποστήματι καὶ

οὐσίᾳ θεοῦ κατὰ τὸ γεγραμμένον. οὐ

δὲ θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν. καὶ

περὶ τοῦ ἀβραὰμ δέ φησιν οὐχ ὡς θεὸν

εἶδεν ἀλλ' ὡς ἄνθρωπον ἔθρεψεν καὶ ἐπὶ τῶν

ἐν τῇ πλουσίᾳ ζωῇ μετὰ μωσέως καὶ αὐ-

τὸς πρὸς θεοῦ γνῶσιν καὶ ἰδεῖν καὶ παθεῖν

ἐξηγούμενος μικρόν φησι διακεῖται

οὔτε τὴν πρώτην καὶ ἀκήρατον εἶδεν φύ-

σιν καὶ ἑαυτὴν λέγω τὴν ἰδίαν γινωσκομένων,

καὶ ὅσα τοῦ πρώτου κατὰ πεπλασμένος

εἰσωμένη καὶ ὑπὸ τῶν χερουβὶμ συγκα-

λύπτεται. αὕτη ὅση τελευταία καὶ εἰς
ἡμᾶς φθάνουσα. ἡ δὲ ἔστιν ὡς ἐμὲ γι-
νώσκειν. ἡ ἐν τοῖς κτίσμασι προβεβλη-
μένη καὶ διοικουμένη μεγαλειότης, ἢ
καὶ ὡς ὁ θεῖος δαβὶδ ὀνομάζει μεγαλο-
πρέπεια. ταῦτα γὰρ τοῦ θεοῦ τὰ ὀπί-
σθια. ὅσα μετ' ἐκεῖνον ἐκείνου γνωρίσ-
ματα ἵνα δὲ ταῦτα τὰ γνωρίσματα
δηλῶν ἐπήγαγεν. ὥσπερ αἱ καθ' ὑδά-
των ἡλίου σκιαὶ καὶ εἰκόνες ταῖς σα-
θραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον, ἐ-
πεὶ μὴ αὐτὸν προσβλέπειν οἷόν τε διὰ τὸ ἀ-
κραιφνὲς τοῦ φωτὸς νικῶντα τὴν αἴσθησιν.

Καὶ τὰ πάντα συμπεραίνων φησίν· οὔ-
τως οὐκ ὢν θεολογήσεις κἂν ᾖς Μωϋσῆς,
καὶ Φαραὼ θεός· κἂν μέχρι τρίτου οὐ-
ρανοῦ κατὰ Παῦλον φθάσῃς· κἂν ὑ-
πὲρ ἐκεῖνον γένῃ ἀγγελικῆς στάσεώς τε
καὶ τάξεως ἠξιωμένος· ὁ δὲ μέγας Βασί-
λειος ἐν τῷ κατὰ Εὐνομίου α΄ φησίν· ὅτι
τὰ παρὰ τοῖς θεολόγοις περὶ οὐσίας θεοῦ ἀ-
ναγεγράφθαι δοκεῖ τροπολογίαις ἐστὶν
ἢ καὶ ἀλληγορίαις πρὸς ἑτέρας ἐννοίας
οἱ λόγοι φέρουσι· πρὸς τούτοις δὲ καὶ ὁ
θεῖος Χρυσόστομος ἐν τοῖς περὶ ἀκαταλή-
πτου λόγοις οὐδὲ τοῖς σεραφὶμ ὁρατὸν

τοῦ θεοῦ ἰσχυρίζεται. ἀλλὰ καὶ τὰς θεωρί-
των προφητῶν καὶ τῶν ἁγίων ἁπάσας
συγκαταβάσεις εἶναι διαβεβαιοῖ. ἑρμη-
νεύων δὲ καὶ τί ἐστι συγκατάβασις ἐπά-
γει λέγων. συγκατάβασις δέ ἐστιν. ὅταν
μὴ ὡς ἔστιν ὁ θεὸς φαίνηται ἀλλ᾽ ὡς ὁ δυνά-
μενος αὐτὸν θεωρεῖν οἷός τέ ἐστιν. οὕτως
ἑαυτὸν δεικνύῃ, ἐπιμετρῶν τῇ τῶν ὁρών-
των ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν.
καὶ ἐν τῇ παλαιᾷ γραφῇ ὡς ἀπὸ προ-
σώπου τοῦ θεοῦ λέγεται. ἐγὼ ὁράσεις
ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡ-
μοιώθην. ὁ δὲ θεῖος διονύσιος οὕτω φη-

σιν. εἰ δὲ καὶ ὁ φιλόσοφος ἀξιοῖ κλήμης

πρός τι παραδείγματα λέγεσθαι τὰ ἐν τοῖς

οὖσιν ἀρχηγικώτερα πρόεισι μὲν οὐ

διὰ κυρίων καὶ παντελῶς καὶ ἁπλῶν

ὀνομάτων ὁ λόγος αὐτῷ. συγχωροῦντας

δὲ καὶ τοῦτο ὀρθῶς λέγεσθαι, τῆς θεολο-

γίας μνημονευτέον φασκούσης ὅτι οὐ

παρέδειξά σοι τοῦ πορεύεσθαι ὀπίσω αὐ-

τῶν ἀλλ' ἵνα διὰ τῆς τούτων ἀναλογικῆς

γνώσεως ἐπὶ τὴν πάντων αἰτίαν ὡς οἷοι

τέ ἀναχθῶμεν. οὐ τοίνυν ἐρρύημεν τὸν

θεὸν ὁρᾶσθαι κατὰ τὴν οὐσίαν αὐτοῦ. τοῦ-

το φιλοσοφοῦσιν οἱ ἅγιοι ἀποθοῦνται, ὡς -

τε οὐδὲν συμβόλοις φυσικοῖς ἀπερ-
ὰν ἴσως ἐννοήσωμεν ἀπὸ τῶν καθ' ἡμᾶς
ἐνύλων πραγμάτων τῶν τῆς οὐσίας
αὐτοῦ κατάληψιν παραδέχονται· ὅτι
γὰρ ὁ θεῖος γρηγόριος ὁ νύσσης ἐν τῷ ἐζη-
τηκέναι αὐτὸν καὶ οὐχ εὑρέθη· τῆς τοιαυ-
της ἐννοίας ἀπτόμενος, πῶς ἂν φησὶν
εὑρεθείη οὗ μηνυτὰ τῶν γνωσκομένων
οὐδέν· οὐκ εἶδος, οὐ χρῶμα· οὐ περι-
γραφή, οὐ ποσότης, οὐ τόπος, οὐ σχῆ-
μα· οὐ στοχασμός, οὐκ εἰκασμός, οὐκ
ἀναλογία· ἀλλὰ πάσης καταληπτι-
κῆς ἐφόδου ἐξώτερον ἀεὶ εὑρισκόμενον,

ὅπερ ἔθος Μάξιμος τῷ τοῦ ποτὲ καὶ ποῦ
καὶ πῶς ἔννοιαν ἐπὶ θεοῦ ἀναιρεῖ. ὅπερ
ἀποπέμπει παντὸς εἰκασμοῦ φυσικοῦ
διάνοιαν. ἐπεὶ οὗτος ἢ ἐν τῷ πῶς ἔχειν
συνίσταται, οἷον ἐστὶ τὸ λογίζεσθαι, τὸ λογι-
ζόμενον, ἢ ἐν τῷ ὅπου βλέπεις ὡς ἔνθα
καπνὸς ἐκεῖ καὶ πῦρ. ἢ ἐν τῷ ἥδε τέτο-
κεν. ὡς εἰ δὲ ἡ γυνὴ θηλάζει τέτοκεν ἄρα.
εἰ γὰρ τοῦ θεοῦ ἔτι ἐν σαρκὶ ὄντες οἱ ἄνθρωποι
οὐ χωροῦσιν ἀναλόγως ἑαυτοῖς τίνα ἐστὶ
τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ τὰ ἀποκείμενα
τοῖς ἁγίοις, περὶ ὧν ὁ ἀπόστολος λέγει. καὶ
„ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πί-

" στέως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν.
" τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλε-
" ψαμένου ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι·
δηλονότι πρὸ τῆς μελλούσης ἀποκατα-
στάσεως. καὶ πῶς, ὁ αὐτὸς ἀπόστολος
λέγει· καὶ οὗ ἄρτι γὰρ ἐν ἐσόπτρῳ καὶ αἰ-
νίγμασι τότε ὀψόμεθα πρόσωπον πρὸς
πρόσωπον. καὶ ὁ θεῖος διονύσιος· ἐφ' ὅσον
τῷ σώματι ζῶμεν οὐ δυνατὸν ἡμῖν
ἐπιλάμψαι τὴν θεουργικὴν ἀκτῖνα·
μὴ τῇ ποικιλίᾳ τῶν ἱερῶν παραπετασ-
μάτων ἀναγωγικῶς περικεκαλυμ-
μένην καὶ τοῖς καθ' ἡμᾶς προνοίᾳ πατρικῇ

συμφυῶς καὶ οἰκείως διεσπασμένην. ὅπερ ἐστὶ τὸ σαφέστερον ὁ θεῖος διαρθρῶν μάξιμος, διὰ τῶν ἁπτῶν φησὶ καὶ συμβόλων, οὐ δυνατὸν ἡμᾶς ἐν σαρκὶ ὄντας κατοπτεῦσαι τὰ ἄϋλα καὶ ἀσώματα καὶ πῶς ὁ αὐτὸς πάλιν ὡς ἀπὸ τοῦ ἀποστόλου εἴρηκεν· ὅτι ἡ πᾶσα γνῶσις τοῦ αἰῶνος τούτου καὶ ἡ ἄγαν ὑψηλὴ καὶ μετέωρος πρὸς τὴν τοῦ μέλλοντος αἰῶνος συγκρινομένη στοιχειώδης ἐστὶ καὶ οἷον χαρακτῆρος ζῶντος εἰκών, ἥτις οὐκ ἔσται τῆς ἀληθοῦς φανείσης ζωῆς τε καὶ γνώσεως. εἴτε γὰρ γνώσεις φησὶ παύσονται. εἴτε

προφῆται καταργηθήσονται· κατὰ τὸν
ἀπόστολον δηλονότι λέγοντα· ὅταν δὲ
,, ἔλθῃ τὸ τέλειον τότε τὸ ἐκ μέρους καταργη-
θήσεται· πῶς οὖν ταῦτα πάντα φυλαχ-
θήσονται καὶ τὰ λοιπὰ τῆς ἁγίοις πρότερον εἰρη-
μένα· εἴ τις τὸν θεὸν λέγει καταλυώ οὐσίαν
ὁρᾶσθαι· εἰ δὲ ἵνα γεράσῃ τὸ τοῦ θεοῦ
ὄνομα κάμηνον ἐν ταῖς τῶν προφητῶν θεω-
,, ρίαις· καὶ τῶν ἁγίων ἀγγέλων ὡς τὸ ὤφθη
,, κς ὁ θς τῷ ἀβραὰμ καὶ εἶπεν ὁ θς τῷ
μωϋσῇ ἐκ τῆς βάτου καὶ τὰ ἄλλα ἵνα μὴ
καθ' ἕκαστον ἀριθμῶ· ἀγγο θαυμαστὸς
φησὶ διονύσιος ἄλογον καὶ σκαιόν τὸ μὴ

τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν ἀγα-
θαῖς λέξεσιν. τοῦτο γὰρ τὸ γνώρισμα τῶν
ἰουδαίων ἐστίν. οἵγε εἴπερ ἐβούλοντο
μὴ ταῖς λέξεσιν ἀγαθῇ δυνάμει τοῦ σκο-
ποῦ προσέχειν, οὐδὲν ἂν ἐκώλυσε τὸν
χν̄ υἱὸν θεοῦ ὁμολογοῦντας χριστιανοὺς
μεθ' ἡμῶν καὶ εἶναι καὶ ὀνομάζεσθαι. οἷς
πάντως ὁμοιωθησόμεθα καὶ ἡμεῖς, εἰ τοῦ-
τον τὸν τρόπον τὰς γραφὰς ἐκλαμβάνομεν.
μᾶλλον δὲ καὶ χείρους αὐτῶν φανούμεθα,
περισσὸν καὶ σωματικὸν τὸν θν̄ ἐννοήσομεν.
καὶ τὰ τοῦ σώματος οἰησόμεθα πάσχειν.
αὐτίκα γὰρ ὁ μὲν παλαιὸς νόμος περὶ θεοῦ

δεδόσθαι λέγεται τῷ μωσῇ καὶ θεόγραφος
διὰ τοῦτο προσείρηται· ὁ δ' ἀπόστολος περὶ
,, αὐτοῦ φησίν εἰ ὁ δι' ἀγγέλων λαληθεὶς λό-
,, γος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις
,, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαπο-
δοσίαν, καὶ τὰ ἑξῆς· πάλιν ἡ γραφὴ τοῦτ'
αὐτὸ περὶ τοῦ μωϋσέως ἡμῖν ἐξηγήσα-
το καὶ ἀνακαλέσειν αὐτὸν εἰποῦσα κς ἐκ
τῆς βάτου· καίτοι οὐ θεὸς ἦν ὁ καλέσας αὐ-
τὸν ἐξ ἐκείνης τῆς βάτου ἀλλ' ἄγγελος ὡς
ἔστιν ἀκούειν τῶν ἐξηγουμένων ταῦτα
ἱερῶν διδασκάλων· καὶ πάλιν τῷ ἀβραὰμ
ἀμέλει τὸν θεὸν ἐπιξενωθῆναι φησίν· ὅτι δὲ

οὐ δὲ τὴν ἀγγέλοις ὁ θεῖος παῦλος διδά-
σκει μεμνῆσθαι λέγων τῆς φιλοξενίας·
διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες
ἀγγέλους τὸν ἀβραὰμ αἰνιττόμενος διὰ
τούτου περὶ οὗ καὶ ὁ θεόλογος γρηγό-
ριος φησί· ἢ τὸν ἀβραὰμ δὲ πεποίηκεν
ἑστιάτορα· ἀγαθοῦ δὲ λέγει· οὐχ ὡς δὲ
ἀγγέλους αὐτὸν ἔθρεψεν καὶ πάλιν ἑτέρωσε
γραφή· δὲ ἐσταυρωμένον καὶ τοῦτον μετὰ
λῃστῶν· ὅπερ εἰ κατὰ τὴν θεότητα ἐννοή-
σομεν εἰς πολλὴν δυσφημίαν ὁ λόγος
ἔσται· διὰ δὲ τὴν προσληφθεῖσαν σάρκα
τοῦτο εἰρῆσθαι νομίζοντας, τῆς ἀληθοῦς διά-

νοίας οὐκ ἀφιστάμεθα. ἔπειτον μανωὲ
φησὶν ἐπερωτῶν ἡ γραφὴ ἀπολογουμένῳ
γνῶναι. τί ἐρωτήσαμεν. τὸ φανὲν αὐτῷ
σύμβολον τί ὀνομάζεις. καὶ πάλιν ὁ θεὸς
ἔστη ἐν συναγωγῇ θεῶν ἐν μέσῳ δὲ θεοὺς
διακρίνει. καὶ ὁ παῦλος. εἴπερ εἰσὶ πολ-
λοὶ θεοὶ ὥσπερ εἰσὶ καὶ ἐσιέω λέγειν τὰ ἄλ-
λα ὅσα τί καὶ θεοφανείας ἡ γραφὴ πα-
λαι. τοῖς ἁγίοις πολυμερῶς καὶ πο-
λυτρόπως λαληθέντα καὶ φανταθέντα.
ἅπαντα πόρρω εἶναι τῆς οὐσίας τοῦ
θεοῦ καὶ δι' ἀγγέλων δραματουργεῖσθαι
ὁ ἅγιος διονύσιος ἀπέδειξε, λύων τὸ ἐπ

τῶν ἀμέσων θεοφανειῶν ἀπορίαν καὶ δι-
δασκάλων τοῖς πρὸ νόμου καὶ μετὰ νόμον
πάντας ἁγίους ἡμῶν πατράσι δι᾽ ἀγγέλων
εἰς θεὸν ἀνάγεσθαι. πρὸς τούτοις καὶ τὸ βα-
πτισμα θεοφάνεια καλούμενον. ὅτι ἐν τού-
τῳ σαρκὶ θεὸς χριστὸς ἑωρᾶτο, καὶ τὸ πνεῦμα τὸ
ἅγιον φανερῶς καταπτῆναι καὶ τοῖς τότε
φανεὶν ἐν εἴδει περιστερᾶς πρὸς τὴν χάριν
τῆς οἰκονομίας, ἐκ τοῦ ἀερώδους σώματος
σχεδιασθείσης, ὡς οἱ ἄλλοι φασί· καὶ μά-
λιστα ὁ αὐγουστῖνος ἐν τῷ περὶ τριά-
δος βιβλίῳ καὶ τῇ ἀκουσθείσῃ φωνῇ τοῦ
πατρὸς γνωσθῆναι λεγόμενον. ἂν οὖν τὰ πρὸ

τοῦ νόμου καὶ μετὰ νόμον φανέντα τοῖς
ἁγίοις θεοῦ οὐσίαν, εἴπωμεν, ἀναγκασθη-
σόμεθα καὶ τὰς ἀκουσθείσας αὐτοῖς φω-
νὰς ἐκ τοῦ θεοῦ λέγειν ὦτα καὶ ὄργανα φω-
νητικὰ τούτῳ προσάπτειν ὅπερ ἄτοπον
ὁμοῦ καὶ γελοῖον. τούτων δὲ οὕτως ἐ-
χόντων οὐκ ἂν ὀρθῶς εἴποιμεν τὴν θείαν
γραφὴν ἢ τοὺς ἁγίους κυρίως τοῖς ὀνό-
μασιν ἐπὶ τούτων κεχρῆσθαι. ἀλλὰ
μᾶλλον καταχρῆσθαι. καὶ ἀδιαφόρως
τοῖς τύποις περιτιθέναι τὰ ὀνόματα καὶ
ἰδιώματα τῶν ἀτυπώτων καὶ ἀμορ-
φώτων ὡς ἐπὶ τὸ τοῦ παύλου. ἡ δὲ πέ-

τὸ χαλκοῦ ὁ χ(ριστό)ς· καὶ ὁμωνύμως ταῦτα λέ-
γειν, τοῖς τῶν εἰκονιζομένων ὀνόμασι τὰ εἰ-
κονίζοντα καλοῦντας. ἃ δὴ πολλὰ καὶ
διάφορα καὶ ἄλλοτε ἄλλως ἔχοντα ἐφά-
νησαν. ὁμοιώματα γὰρ ἐν ταῖς χερσὶ τῶν
προφητῶν διεξέθησαν καὶ σύμβολα καὶ
συγκαταβάσεις καὶ γνωρίσματα οἱ ἅ-
γιοι ἐξηγήσαντο, ὡς ἀπὸ τῶν ἐκτεθέντων
δῆλον. ὁ δὲ θεὸς τὸ διὰ πάντων τυπούμενον
καὶ εἰκονιζόμενον, ὃς καὶ ὁ αὐτὸς καὶ ἀμε-
τάβλητός ἐστιν ἀεί ποτε. τὸ δὲ τοῦ θεοῦ τοῖς
ἁγίοις ὀφθῆναι διαφορεῖν οὐκ ἄλλο πάν-
τως ἢ τὸ γνῶσιν αὐτοὺς εἰληφέναι περὶ

αὐτοῦ βούλεται, κατὰ τὴν τῶν ὁρώντων
ἀναλογίαν, καὶ καθαρότητα· διὰ τῶν
συμβολικῶν αὐτοῖς θεαθέντων. ἐπεὶ καὶ
ἡ περὶ θεοῦ γνῶσις καὶ νόησις ὅρασις λέ-
γεται θεοῦ καὶ ὅλην γνῶσιν ταύτην ἀλη-
θῶς αὐτὸν ἑωρακέναι, ὁ μὲν γὰρ γρηγόριος
ὁ θεολόγος ἐν τῷ περὶ υἱοῦ φησιν ὁ νενοη-
κὼς τὸν υἱὸν τοῦτο γάρ ἐστι τὸ ἑωρακώς, νενόη-
κε τὸν πατέρα· ὁ δὲ θεῖος χρυσόστομος τὸ δ' εὐαγ-
γελικοῦ ῥητοῦ μνησθεὶς τοῦ δι' ἃ ἀπεκρίθη τοῖς
ἰουδαίοις καὶ εἶπεν οὐχ ὅτι τὸν πατέρα τίς
ἑωρακὼς τὸν πατέρα εἴρηκεν ὅρασιν ἐνταῦ-
θα τὴν γνῶσιν λέγει καὶ δὴ γνῶσιν καὶ

νόησιν καὶ διὰ τῶν τοῦ ὄρους θαυμάτων τῶν δὲ

τό τε πλοῦσι γεγενῆσθαι διδάσκει. λέγει

γάρ· τινὸς δὲ ἐν σκηνῇ οὐκ ἀνέβη εὐθὺς εἰς

τὸ πλοῖον. τὸ θαῦμα μεῖζον ἐργάζεσθαι

βουλόμενος, καὶ τὴν θεότητα ἀνακαλύ-

ψαι αὐτοῦ γυμνότερον. καὶ ταῦτα δὲ τὰ

θαύματα δόξαν αὐτοῦ ὁ αὐτός οὗτος λέ-

γει, ἐν τῇ κατὰ ἰωάννην ἐξηγήσει. ταῦτα

οὖν ἅπαντα λέγων συναγαγὼν ὁ διηγ-

ησις τὰ θαύματα τὰ ἐν σώμασι, τὰ ἐν

ψυχαῖς, τὰ ἐν τοῖς στοιχείοις, τὰ ἀπόρρητα

ἐκεῖνα καὶ τῶν οὐρανῶν ὑψηλότερα, τοὺς

νόμους, τὴν πολιτείαν, τὴν πειθὼ τὰς

μηνύοντες ὑποσχέσει, τὰ παθήματα αὐ-
τοῦ, τὴν θαυμαστὴν ταύτην καὶ ὑψηλῶν
γέμουσαν δογμάτων ἀφῆκε φωνήν, λέ-
γων· ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν
ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χά-
ριτος καὶ ἀληθείας. οὐ γὰρ διὰ τὰ θαύ-
ματα μόνον αὐτὸν θαυμάζομεν, ἀλλὰ
καὶ διὰ τὰ παθήματα. οἷον ἐπειδὴ προ-
σηλώθη τῷ σταυρῷ καὶ ἐμαστιγώθη. ἐπειδὴ
ἐρραπίσθη. ἐπειδὴ ἐνεπτύσθη. ἐπειδὴ
ἔλαβεν ἐπὶ κόρρης πληγὰς παρὰ τῶν εὐερ-
γετηθέντων αὐτῶν. καὶ γὰρ καὶ ἐπὶ τού-
τοις αὐτοῖς τοῖς δοκοῦσιν ἐπονειδίστοις

εἶναι, τὸ αὐτὸ πάλιν ῥῆμα ἄξιον ἐπιφθέγ-
ξασθαι· ἐπεὶ καὶ αὐτὸς δοξάζων τὸ πρᾶγ-
μα ἐκάλεσε. ταῦτα μὲν ὁ θεῖος χρυσό-
στομος. ὁ δὲ μέγας βασίλειος ἀπὸ τῶν
ἀνέμων φησὶ καὶ τῆς θαλάσσης ὑπακου-
σάντων αὐτῷ, ἐγνώρισαν αὐτοῦ τὴν θεότητα.
αὕτη ἄρα μὲν ἡ γνῶσις αὐτὴ τελεωτέρα καθε-
σταμένη, βασιλεία ὁποῦ ἂν Γρηγορείω τῷ
θεολόγῳ δοκεῖ. καὶ γὰρ ἐν τῷ περὶ καταστά-
σεως ἐπισκόπων, ἡγοῦμαι φησὶ μὴ ἄλλο
τι εἶναι βασιλείαν θεοῦ, ἢ τὸ τυχεῖν τοῦ κα-
θαρωτάτου καὶ τελεωτάτου. τελεώτατον δὲ
τῶν ὄντων γνῶσις θεοῦ, αὕτη δὲ μὲν κατα-

σχῶμεν· τὸ δὲ καταλάβωμεν· ἕως οὗ μέν
ὑπὲρ γῆς· τὸ δὲ ἐκεῖθεν κομισώμεθα·
ἐν δὲ τῷ εἰς τὰ φῶτα λόγῳ· καὶ τὴν μεγ-
λου τὴν ἀνταπόδοσιν μετὰ τῶν πεφωτισ-
μένων δέχεσθαι τοῦ βαπτιζομένου περι-
κηρυσσόμενος, ταύτην εἶναι φησὶ φῶς τοῖς
κεκαθαρμένοις τὴν διάνοιαν τουτέστι θεὸν
ὁρώμενόν τε καὶ γινωσκόμενον, κατὰ τὴν
ἀναλογίαν τῆς καθαρότητος· ὃ δὴ καὶ βα-
σιλείαν οὐρανῶν ὀνομάζομεν· σκότος δὲ
τοῖς τυφλώττουσι τὸ ἡγεμονικόν· τουτέ-
στιν ἀλλοτρίωσιν θεοῦ κατὰ τὴν ἀναλο-
γίαν τῆς ἐνταῦθεν ἀμβλυωπίας ταῦ-

τὴν δὲ τὴν περὶ θεοῦ γνῶσιν τὴν ἁγίοις ἀ-

ποκειμένην μετὰ τὴν ἐλπιζομένην ἀνάστα-

σιν ὑπὲρ νοῦ ἕνωσιν ὁ ἅγιος διονύσιος

καλεῖ καθ᾽ ἣν ὁ θεὸς ἔσται τὰ πάντα ἐν αὐτοῖς

κατὰ τὸν μακάριον παῦλον ἅμα περὶ

μελλόντων ὕστερον. νῦν δὲ καθαρώτατα

διὰ πάντων φαίνεται ὅπως ὥσπερ λέγομεν

καὶ ἀνώνυμος ἐστὶν ὁ θεός. καὶ πάλιν ὀνο-

μάζεται. ἀνώνυμος μὲν κατὰ τὴν οὐσίαν,

ὀνομαζόμενος δὲ, ἀπὸ τῶν ἐμφαινομένων

τῷ παντὶ θαυμάτων. οὕτω γὰρ ὁ νύσσης

Γρηγόριος λέγει τὰ ἐν τῷ παντὶ ἐνθεωρού-

μενα θαύματα τὴν ὕλην δίδωσι, δι᾽ ὧν θ-

φοῦ δίκαιον

φοῦ δίκαιον ταῖ τι αὐτὸ καλοῦμεν, τὸν ὅ-
μοιον τρόπον ἐποιμεν ἂν ἑκάτερον ὀρ-
θῶς ὅτι τὸν θεὸν οὐδεὶς πώποτε τεθέαται.
Καὶ ὅτι πάλιν τὸν αὐτὸν καὶ προφῆται
καὶ ἄλλοι εἶδον, κατὰ λόγον δηλονότι καὶ
αὐτό. τὸ μὲν διὰ τὸ μὴ εἶναι δυνατὸν τὴν
τοῦ θεοῦ φύσιν περιληφθῆναι· καὶ ὑπὸ τοῦ πε-
περασμένου τὸ ἄπειρον καὶ ἀόριστον πε-
ρικρατηθῆναι. τὸ δὲ διὰ τὴν γνῶσιν καὶ
ἔσχον περὶ ἐκείνου διά τινων συμβόλων
κατὰ τὴν τῶν ὁρώντων ἀναλογίαν, καὶ τὴν
τῶν ὁρωμένων ἑκάστην καὶ φαντασίαν. τὸ
δ' αὐτὸ καὶ περὶ τῆς μετοχῆς ἐστι λεκτέον,

καὶ τῶν μετεχομένων τοῦ θεοῦ ἐνοικήσω γάρ
φησιν ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ
ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα καὶ μονὴν
παρ' αὐτῷ ποιήσομεν, ἀλλ' οὐχ ὡς ἐκ φύ-
σεως ἢ θεότητος, ἐπεὶ κατὰ τῶν μασσαλιανῶν
ἐστὶν ἡ αἵρεσις. ἄλλως φησὶν ἡ κατ' αὐτῶν
γενομένη σύνοδος. λέγει γάρ· γίνεται τις ἐπι-
δημία τοῦ παρακλήτου καὶ ἐνοικεῖ τοῖς
ἀξίοις ὁ θεὸς ἀλλ' οὐχ ὡς ἐκ φύσεως, ἢ θεό-
τητος. εἰ δέ τινες ἐλέγοντο μασσαλιανοί
φάσκοντες μετέχειν τῆς οὐσίας τοῦ θεοῦ,
μεταβαλούσης ἔστι τῶν καλαγηρῶν ἐκεί-
νοις καὶ ἑαυτὴν τοῦ θεοῦ οἰκεῖν λέγον ἐν ἑαυ-

τοῖς, ἡμεῖς τὴν τοιαύτην δυσσέβειαν ἐς
τὰς ἐκείνων κεφαλὰς ἀποσκευαζόμεθα.
καὶ γὰρ μᾶλλον τοῖς τοῦ ἁγίου Διονυσίου
λόγοις ἑπόμενοι, καὶ φαμὲν τὸ τοῦ θεοῦ
κρύφιον ἀνεκφάντως ἐκφαίνεσθαι. καὶ
τὸ ἀμέθεκτον ἀμεθέκτως μετέχεσθαι
καὶ τὸ ἀνεκφοίτητον ἀνεκφοιτήτως προ-
ϊέναι. καὶ πανταχοῦ γίνεσθαι, μένον ἐφ'
ἑαυτοῦ ἄγον εἰς κοινωνίαν καὶ μετουσίαν
ἐφικτῶν ταῖς ἀναλόγοις ἑκάστων φύσε-
σι γινομένων, οὐκ ἐκείνου μεταβάλλοντος.
ἄλλως γὰρ πάρεστιν ὁ θεὸς κατὰ τὴν ἑαυτοῦ
φύσιν ἐφ' ὅσον μηδὲν ἐμποδὼν αὐτῷ

πέφυκε γίνεσθαι. καὶ ἁπλῶς κατὰ πρό-
νοιαν, ὅταν πᾶσι πάντα γίνηται. καὶ ἁπ-
λῶς πάλιν ἐν οὐδενὶ τῶν ὄντων ἐστὶν ἐφ'
ὅσον καθ' αὑτόν. μηδὲν τὸ σύνολον τῶν
ὄντων ἐστὶ κατ' ἄλλη :–

## ~: περὶ αὐτοῦ τοῦ ἑνὸς θεοῦ ὅ ἐστι τριάς : — : —

Τοῦτον τὸν ἕνα καὶ ἀληθῆ θεὸν τὸν δημιουρ-
γὸν καὶ συνοχέα τοῦ παντὸς καὶ πηγὴν
τῶν ἀγαθῶν καὶ αἰτίαν τοῦ συνίστασθαι ἕκα-
στον, πιστεύομεν καὶ ὁμολογοῦμεν εἶναι
πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. τοῦτο δὲ οὐκ
ἀπὸ διανοίας ἀνθρωπίνης ἐκ τῶν κτισμάτων
συλλογιστικῶς συνηγάγομεν, ἀλλ' ἐξ ἀπο-

καλύψεως ἠγάγομεν. ἐπειδὴ γὰρ ἐκ τῶν
κτισμάτων διὰ τῆς αἰσθήσεως τοῦ περι-
ληφθὲν οὐδ' ὅλως τὸν δίκαιον, ἐδέησεν
ἡμῖν τῆς τούτου παρὰ τοῦ θεοῦ ἀποκα-
λύψεως, καὶ αὐτὸς ὁ ἐκ τῆς τριάδος ὁ υἱὸς
τοῦ θεοῦ γενόμενος ἄνθρωπος διὰ τὴν ἑαυτοῦ
ἀγαθότητα περὶ οὗ μικρὸν ὕστερον κατ'
τὸ δίκαιον ὁρίζομεν τὸν ὅμοιον τρόπον
ἐκ τῶν ἁγίων τῶν αὐτοῦ συλλεγόντων, ἀπεκά-
λυψεν ἡμῖν τὸ τῆς τριάδος μυστήριον
ἵνα μὴ ὑπὸ τῆς ἐθνικῆς διδασκαλίας πλα-
νώμενοι τοῖς κτίσμασι χαριζόμεθα. καὶ
πρότερον μὲν περὶ τούτου διὰ τῶν προ-

φητῶν ἠνίξατο τὸ φῶς καὶ τὸ ὅλισθον ἀπὸ
τῆς εἰδωλολατρείας τοὺς αὐτοὺς ἀφῆκαν.
εἶτα καὶ δι' ἑαυτοῦ σύμφωνα τοῖς προ-
τέρον καθαρῶς ἐδίδαξεν. ὃ δὴ τοσοῦ-
τον ἐστὶ παράδοξον ὥστε πᾶσαν λογικὴν
διάνοιαν ὑπερβαίνειν. καὶ γὰρ μονάδα ἐν
τριάδι καὶ τριάδα ἐν μονάδι πιστεύο-
μεν. καὶ οὔτε ἡ μονὰς τῆς οὐσίας σύγχυ-
σιν καὶ συναλοιφὴν τοῖς τρισὶ προσώποις
ἐμποιεῖ. οὔτε ὁ ἀριθμὸς τῶν προσώπων
διαιρεῖ τι καὶ τῆς μονάδος εἰς τὸ ὅλον τὴν τῆς οὐ-
σίας ἑνότητα. ἀλλὰ καὶ ἕν ἐστι κατὰ τὴν
οὐσίαν καὶ τρία κατὰ τὰς ὑποστάσεις. δι-

αιρεῖται γὰρ ἡνωμένως καὶ συνάπτεται
διῃρημένως, ὡς φησιν ὁ θεολόγος Γρηγό-
ριος· καὶ πάλιν οὐ φθάνω τὸ ἓν νοῆσαι
καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθά-
νω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέ-
ρομαι. καὶ γὰρ ἐπὶ μὲν τῶν αὐτῶν οἱ τρεῖς ἄν-
θρωποι οὐκ εἰσὶν εἷς· καὶ πάλιν ὁ εἷς οὐκ
εἰσὶ τρεῖς· ἐκεῖ δὲ καὶ τὸ ἓν τρία καὶ τὰ τρία
ἕν. ἅπερ ὡς ἔφην πάντα νοῦν ὑπερβαί-
νει. ζητεῖν τὴν τε ἕνωσιν καὶ τὴν διάκρισιν.
ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παραδέδωκεν εἰπών.
πορευθέντες εἰς τὸν κόσμον ἅπαντα μα-
θητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐ-

τοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τοῦ ἁγίου πνεύματος. ἀπὸ μὲν γὰρ τοῦ εἰπεῖν εἰς
τὸ ὄνομα ἑνικῶς, τὴν μίαν οὐσίαν ἐδή-
λωσεν. τρεῖς γὰρ οὐ δύο καὶ τρία ὄντα οὐ-
δέποτε ἑνικῶς προσφέρεται. ἀπὸ δὲ τοῦ
προσθεῖναι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος
τὸ ἰδιοϋπόστατον τῆς μιᾶς οὐσίας, ἐδί-
δαξεν. ἀλλαχοῦ δὲ εἰπών, ἐγὼ καὶ ὁ πατὴρ
ἕν ἐσμεν, τὸ μὲν ἓν τῇ οὐσίᾳ ἀπέδωκε· τὸ
δὲ ἐγὼ καὶ ὁ πατὴρ τοῖς προσώποις. καὶ ὁ
μέγας ἀθανάσιος ταύτῃ τῇ θεολογίᾳ στοι-
χῶν, τρεῖς φησὶ τὸ ἅγιος διὰ τὰς τρεῖς ὑπο-
στάσεις, ἅπαξ τὸ κύριος διὰ τὴν μίαν θεότη-

τα. ἀρκεῖ ταῦτα τοῖς πιστοῖς ἕως τούτ
ἡ γνῶσις ἐν αὐτοῖς φθάνει. μέχρι τούτων
τὰ χερουβὶμ συγκαλύπτεται πτέρυξι.
τούτων οὖν ἀκολουθοῦντες τῷ κανόνι
περὶ τοῦ θεοῦ τῆς ἁγίας τριάδος. καὶ
ὥσπερ ἐπὶ μετρίοις ἑστηκότες. τὰ ἑκα-
τέρωθεν ἄτοπα ἐκφευγόμενοι. διὰ μὲν
τοῦ μίαν οὐσίαν ὁμολογεῖν τὸ τοῦ ἀρείου
δόγμα ἀπορρίπτοντες. τὰς οὐσίας δια-
φόρους λέγοντος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τὸ ἅγιον πνεῦμα καὶ τοῖς ὀνόμασι συνδιαι-
ροῦντος καὶ τὰ ὑποκείμενα. διὰ δὲ τοῦ
τρία πρόσωπα ὁμολογεῖν τὸ δόγμα τοῦ

σαβελλίου ἀποπεμπόντων. ὃς ἓν πρόσω-
πον ἔλεγε τὸν θεόν. καὶ ποτὲ μὲν ὡς πατέρα
φαίνεσθαι. ποτὲ δὲ ὡς υἱόν. ποτὲ δὲ ὡς
πνεῦμα ἅγιον. ἔστι τοίνυν ὁ θεὸς μία οὐσία
πρόσωπα δὲ τρία τὸ μὲν, πατὴρ τὸ δὲ υἱός.
τὸ δὲ πνεῦμα ἅγιον. καὶ τὸν μὲν πατέρα αἴτιον
ὁμολογοῦμεν υἱοῦ καὶ πνεύματος. τὸν δὲ υἱόν
καὶ τὸ πνεῦμα αἰτιατά. ἐξ ἐκείνου γὰρ ὁ μὲν υἱός
γεννητῶς. τὸ δὲ πνεῦμα ἐκπορευτῶς. ὅθεν
τοῦ υἱοῦ καὶ τοῦ πνεύματος εἰς ἓν αἴτιον τὸν
πατέρα ἀναφερομένων θεὸν ἕνα τὰ τρία φρο-
νοῦμεν καὶ ἀλλήλοις νοούμενα. καὶ θεὸν
ἕκαστον καθ᾽ ἑαυτὸ θεωρούμενον. καὶ γὰρ

καὶ ὁ πατὴρ θεός ἐστι τέλειος καὶ ἀνελλιπής·
καὶ ὁ υἱὸς ὁμοίως· καὶ τὸ πνεῦμα τὸ ἅγιον
ὡσαύτως. καὶ οὐ μᾶλλον ἐστὶ θεὸς ἢ ὁ
πατὴρ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος· ἢ ὁ υἱὸς μᾶλ-
λον θεὸς τοῦ πατρὸς ἢ τοῦ πνεύματος· ἢ τὸ πνεῦμα μᾶλ-
λον θεὸς τοῦ πατρὸς ἢ τοῦ υἱοῦ· ἀλλ᾽ ὅταν
μίαν τῶν ὑποστάσεων ἐννοῶμεν, τέλειον
αὐτὴν θεὸν καὶ τελείαν οὐσίαν γινώσκομεν·
καὶ ὅταν πάλιν τὰ τρία κατὰ διάνοιαν συ-
νάψωμεν καὶ συναριθμήσωμεν ἕνα τὸν
αὐτὸν θεὸν καὶ τέλειον τὴν οὐσίαν φανταζό-
μεθα· καὶ ὁ αὐτὸς καὶ εἷς θεὸς δηλοῦται
ὅταν λέγωμεν πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα.

Καὶ ὅταν τὸν πατέρα λέγωμεν μόνον. ἢ τὸν υἱόν.
ἢ τὸ πανάγιον πνεῦμα. οὕτω γὰρ λέγω ὅτι
ὁ πατήρ ἐστι καὶ υἱός καὶ ἅγιον πνεῦμα. τοῦ-
το γὰρ ἰουδαϊκόν ἐστι καὶ δόξα τοῦ σαβε-
λίως ἀλλ᾽ ὅτι ἓν ὁποιονοῦν τῶν θείων προ-
σώπων τελείως καὶ ἀνελλιπῶς ἐστι θεός. μη-
δενός λειπόμενον κατὰ τὴν οὐσίαν τῆς
μιᾶς καὶ ὅλης καὶ τελείας θεότητος. ἐπεὶ
οὐκ ἔστι τῆς ὅλης θεότητος μέρος μὲν
ὁ πατήρ μέρος δὲ υἱός. μέρος δὲ τὸ ἅγιον
πνεῦμα οὐδὲ γὰρ μέρος ἢ μέλος ὁ θεὸς ἔχει. τὸ
γὰρ μέρος ἐλλιπές. πρὸς δὲ καὶ σύνθεσιν καὶ
περιγραφὴν ἐπέχει. καὶ ὅτι ἓν ὁποιονοῦν

τῶν ἄλλων ὅλον ἐστί. Καὶ γὰρ ὁ πατὴρ ἐστὶν ὅλος
καὶ ὁ υἱὸς ἐστὶν ὅλος καὶ τὸ πνεῦμα τὸ ἅγιον
ἐστὶν ὅλος καὶ διὰ λοιπὸν οὐ δὲ λεγόμενον ὅτι
ἡ ὅλη καὶ μία θεότης διαιρεῖται εἰς
τὰ τρία πρόσωπα ταῦτα ὥσπερ τὸ γένος
εἰς εἴδη. ἢ τὸ εἶδος εἰς ἄτομα. ἢ τὸ ὅλον
εἰς μέρη οὐ δὲ λεγόμενον ὅτι μείζων ἢ πλείων
ἐστὶν ὁ πατὴρ ὁμοῦ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα
τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ἢ ὁ πατὴρ ὁμοῦ καὶ
ὁ υἱὸς τοῦ πνεύματος μόνου. ἢ ὁ πατὴρ μόνος τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος μόνου. ἐστὶ
μείζων ἢ πλείων ἢ ἐλάττων καίτοι κατὰ τὰ
πρόσωπα ἀριθμὸν ἐπιδεχομένων. αὐτὸ ὁμο-

λογούμεθα ὅτι ὅλη ἡ αὐτὴ καὶ μία τελεία
τελείως ἐν τελείῳ τῷ πρὶ· καὶ ὅλη τελεία
τελείως ἐν τελείῳ τῷ υἱῷ ἡ αὐτή· καὶ ὅλη τε-
λεία τελείως ἡ αὐτὴ ἐν τελείῳ τῷ ἁγίῳ πνι·
καὶ πάλιν ὅλον τὸ πνα τὸ ἅγιον ἐν ὅλῃ
τῇ αὐτῇ· καὶ ὅλος ὁ αὐτὸς ἐν ὅλῃ τῇ αὐτῇ·
καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ πηρ· καὶ πά-
λιν ὅλη ὅλος ὁ πηρ· καὶ ὅλη ὅλος ὁ υἱός·
καὶ ὅλη ὅλον τὸ πνα τὸ ἅγιον· καὶ πά-
λιν ὅλος ἐν ὅλῳ τῷ υἱῷ καὶ τῷ πνι τελείως
ἐστὶν ὁ πηρ· καὶ ὅλος ἐν ὅλῳ τῷ πρὶ καὶ
τῷ πνι τελείως ἐστὶν ὁ υἱός· καὶ ὅλον ἐν
ὅλῳ τῷ πρὶ καὶ τῷ υἱῷ τελείως ἐστὶ τὸ πνα

τὸ ἅγιον· μία γὰρ οὐσία πατρὸς υἱοῦ καὶ ἁ-
γίου πνεύματος· οὐκ ὄντος τοῦ ἑτέρου χωρὶς
ἢ νοουμένου· διὰ ταῦτα φησὶν ὁ θεολό-
γος γρηγόριος ἐν τῷ εἰς τὰ φῶτα λόγῳ·
ὅταν ἕν τι τῶν τριῶν φαντασθῶ, τοῦτο νομί-
ζω τὸ πᾶν· καὶ τὴν ὄψιν πεπλήρωμαι·
καὶ τὸ πλέον διέφυγεν· οὐκ ἔχω τὸ μέγε-
θος τούτου καταλαβεῖν ἵνα δῶ τὸ πλέον
τῷ λειπομένῳ· ὅταν τὰ τρία συνέλω τῇ
θεωρίᾳ· μίαν ὁρῶ λαμπάδα οὐκ ἔχων
διελεῖν ἢ μετρῆσαι τὸ φῶς ἑνιζόμενον· ὅ-
θεν ὁ καὶ θεὸν τέλειον καὶ ἄκτιστον καὶ δη-
μιουργὸν λέγομεν τὸν πατέρα ὡσαύτως καὶ

τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· ἀλλ' ὅμως οὐ
λέγομεν τρεῖς θεούς· οὐ δὲ τρεῖς ἀκτίστους· οὐ
δὲ τρεῖς δημιουργούς· διὰ τὴν ἑνότητα
τῆς μιᾶς οὐσίας· καὶ τὸ τὸν υἱὸν καὶ τὸ
πνεῦμα εἰς ἓν αἴτιον ἀναφέρεσθαι τὸν πατέρα·
ὅπερ οὖν λέγομεν, ὅτι ἕκαστον καθ' ἑαυ-
τὸν θεωροῦμεν διὰ τὴν ὁμοουσιότητα
καὶ ὅτι ἓν τὰ τρία ὁμολογοῦμεν σὺν
ἀλλήλοις νοούμενα διὰ τὴν μοναρχίαν.
φυλαττομένης ἑκάστῳ πάλιν τῆς ἰδιό-
τητος. διὸ δεῖ καὶ τὰς ὑποστατικὰς ἰδιό-
τητας ἀσυγχύτους καὶ ἀμεταβλήτους
ὁμολογεῖν καὶ προσκυνεῖν ἕνα θεὸν ἐν τρισί

προσωποποιεῖ τὸν μὲν πατέρα ὡς πατέρα· τὸν δὲ
υἱὸν ὡς υἱόν· τὸ δὲ πνεῦμα τὸ ἅγιον πνεῦμα.
καθὼς ὁ αὐτὸς θεόλογος ἐν τῷ αὐτῷ φησι
περὶ τούτων· πῶς γὰρ ἂν ἰδιότης ἦν
κινουμένη καὶ μεταπίπτουσα πάλιν κα-
θάτον αὐτὸν εἶπεν καὶ ὁ μέγας βασίλειος
ἐν τῷ περὶ πίστεως· υἱὸν εἶπον φησὶ καὶ
πατέρα φυλάξατέ μοι ταύτας τὰς ἰδιότητας.
μενόντων οὖν ἐν τῷ εἶναι υἱὸς ὁ υἱός, πάν-
τα ἐστὶν ὅσα ἐστὶν ὁ πατήρ. κατὰ τὴν αὐτοῦ
φωνὴν τοῦ Χριστοῦ εἰπόντος· πάντα ὅσα ἔχει
ὁ πατὴρ ἐμά ἐστι καὶ ὁ χρυσόστομος ἐν-
τινι τῶν αὐτοῦ λόγων· ἰδιότητα γὰρ ὅταν

ἄπωτον πατέρα πατέρα νόησον· καὶ τὸν υἱὸν υἱόν·
καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα ἅγιον. αὗται γὰρ
αἱ ἰδιότητες οὐκ ἀντιστρέφονται. καὶ γὰρ
ὁ πατὴρ κυρίως καὶ ἀληθῶς ἐστὶ πατήρ. καὶ
ὁ υἱὸς κυρίως καὶ ἀληθῶς ἐστὶν υἱός. καὶ
τὸ πνεῦμα τὸ ἅγιον κυρίως καὶ ἀληθῶς ἐστὶ
πνεῦμα ἅγιον. ἐν μὲν γὰρ τοῖς ἀνθρώποις οὐδὲν κω-
λύει τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱόν. ἄλλου
μὲν πατέρα δηλονότι, ἄλλου δὲ υἱόν· ἐπειδὴ πλῆ-
θος ἐστὶ προσώπων καὶ διαλοιπῶν οὐδὲ κυ-
ρίως ἐπ' ἀνθρώπων λέγοιτ' ἂν πατήρ. καὶ ἀληθὴς
πατρότης. διὰ τὰς τῆς ὕλης διαφορὰς καὶ
ῥεύσεις καὶ ποικιλίας. ἐπὶ δὲ τοῦ θεοῦ ὄν

μονάδα καὶ τριάδα παρὰ τῆς πίστεως
ἐδιδάχθημεν. καὶ οὐδὲν ἡμῖν ἄλλο πρό-
σωπον παραδέδοται εἶναι ἐκτὸς παρὰ τὰ
τρία ταῦτα. ἀθέμιτον γὰρ τὸ μὲν ἀλη-
θῶς καὶ κυρίως ὁμολογεῖν εἶναι πατέρα. τὸν
δὲ κυρίως καὶ ἀληθῶς εἶναι υἱόν. τὸ δὲ
κυρίως εἶναι καὶ ἀληθῶς πνεῦμα ἅγιον. οὐ
τοίνυν διὰ τῆς ἑνότητος τῶν τριῶν ἐκείνων
θείων προσώπων οὕτως ἐχούσης διὰ τὴν
μίαν οὐσίαν καθάπερ εἴπομεν παρὰ
τῆς καθολικῆς πίστεως διδαχθέντα. δια-
στασίν τινα μέχρι καὶ τοῦ τυχόντος ἀνυ-
ποστάτου νοήματος. ἐπ' αὐτῶν ἐννοεῖν.

καὶ γὰρ φησιν ὁ θεολόγος γρηγόριος πρὸς
τοὺς αἱρετικοὺς ἀποτεινόμενος· φοβῇ σὺ τὴν
γέννησιν, ἵνα μή τι πάθῃ θς ὁ μὴ παθσ-
χων· ἐγὼ φοβοῦμαι τὴν κτίσιν ἵνα μὴ θν
ἀπολέσω διὰ τῆς ὕβρεως καὶ τῆς ἀδίκου
ταύτης κατατομῆς· ἢ τοῦ υἱοῦ τέμνων ἀ-
πὸ τοῦ πρς· ἢ ἀπὸ τοῦ υἱοῦ τὴν οὐσίαν τοῦ
πνς· καὶ ὁ μέγας βασίλειος ἐν τῇ πρὸς τὸν
ἀδελφὸν γρηγόριον ἐπιστολῇ· οὔτε γὰρ τοῦ
πρὸς ὃ ἀεὶ ὢν ἐν τῷ πρὶ ἀποτμηθῆναι δυνή-
σεται οὔτε τοῦ πνς ποτὲ διαζαχθήσεται
τοῦ ἰδίου ὃ πάντα ἐν αὐτῷ ἐνεργοῦν· αὐτοῦ-
τω τῶν τῶν προσώπων ἑνότητα δὲ φυλάττ-

τὴν ταῖς τρισὶν ὑποστάσεσι καὶ οὕτω πρό-
σωπα νοεῖν καὶ ὑποστάσεις αὐτῶν ἐν αὐταῖς κα-
τὰ τὸ ἐγχωροῦν τῇ ἡμετέρᾳ διανοίᾳ· ὡς
τὴν μίαν οὐσίαν αὐτῶν πρὸς ἑαυτὴν ἡνω-
μένην καὶ ἄτρεπτον· ἡ γὰρ οὐσία τοῦ θεοῦ
τὰ τρία πρόσωπα ταῦτα ἐστι· μᾶλλον δὲ
οὐδὲ ἕνωσιν ἐν αὐτοῖς δεῖ λέγειν· ἀλλὰ γὰρ
ἐστὶν ἡ ἕνωσις τουτέστιν ἡ τῆς οὐσίας μο-
νὰς καὶ ταυτότης ἐν τούτοις αὐτὴ ἡ οὐσία
οὐδὲ γὰρ αἱ ἄλλαι αὗται τρεῖς ὑποστάσεις
παρὰ τὴν οὐσίαν εἰσὶν ἀλλ' αὗται ἡ μία
ἐστὶν οὐσία τοῦ θεοῦ ὡς εἴπομεν διαφο-
ρὰν δὲ μόνην ἔχουσιν ἐν τούτῳ πρὸς ἀλ-

ληπτὰ τὰ τρία πρόσωπα· ὁ πατὴρ μὲν ἐστὶν αἴ-
τιον· τὸ δὲ ἐκ τῆς αἰτίας τουτέστιν ὁ μὲν
πατήρ· ἄναρχος καὶ ἀναίτιος· ἀπ' οὐδενὸς
ἔχων τὸ εἶναι πατήρ· ὅπερ ἂν αὐτοῦ προε-
πινοηθῇ· αἴτιος δὲ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος·
τούτων δὲ τῶν ἐκ τῆς αἰτίας ὁ μὲν υἱὸς ἐκ
τοῦ αὐτοῦ πατρὸς γεννητός· τὸ δὲ πνεῦμα ἐκ τοῦ
αὐτοῦ πατρὸς ἐκπορευτόν· ἀλλ' οὐ γεννητόν.
ἄλλος γὰρ τρόπος ὑπάρξεως οὗτος ἀνέκφρα-
στός τε καὶ ἄρρητος· ὅθεν ὁ μὲν υἱὸς ὡς γε-
ννώμενος πατέρα ἔχει τὸν αἴτιον ἑαυτοῦ· καὶ
πρὸς ἐκεῖνον ὡς υἱὸς ἀναφέρεται· ἐκεῖνος
γε τούτου λέγεται πατήρ· τὸ δὲ πνεῦμα ἐκ τοῦ

πατρὸς ἐκπορευόμενον· οὐ καθὸ πατρὸς ἐξαί-
του ἐκπορεύεται. εἰ γὰρ ἂν οὕτω καὶ τὸ
πνεῦμα υἱὸς ἀγέννητου πατρὸς ὡς ἐκ πατρὸς καὶ
προβολέως ὄντος. διὸ καὶ πρὸς ἐκεῖνον
ἀναφέρεται τὸ πνεῦμα καθὸ πρόβλημα οὐ
καθὸ υἱός. ἐκεῖνος δὲ πρὸς τὸ πνεῦμα προβο-
λεὺς τοῦ πνεύματος λέγεται οὐ πατήρ. τὸ γὰρ πνεῦμα
κατὰ τὸν νύσσης γρηγόριον οὐκ ἔχει πατέρα.
καὶ παντάπασιν ἀπήρηται δύο υἱοὺς λέγειν
ἐν τῇ τριάδι ἢ δύο πατέρας ἢ δύο πνεύματα.
ὡς τῇ παραδόσει τῆς πίστεως ἐναντίον.
οὕτω γὰρ οὐ κυρίως ἔσται πατὴρ ἢ υἱὸς ἢ πνεῦμα
καθάπερ ἐλέγομεν, ἀλλὰ μεταβολὴ τῶν

τινὰ τάξιν καὶ σύγχυσις τῶν θείων προσώ-
πων, κατὰ τὰς ἰδιότητας θεωρηθήσεται.
ὅπερ ἄλλο που ἀλλὰ τὴν διαφορὰν ταύτην
καὶ μόνην παρεδόθημεν φυλάττειν ἐπὶ τῶν
τριῶν· ἐν τῷ τὸν μὲν, πατέρα λέγειν. τὸν δὲ
υἱὸν τὸ δὲ ἅγιον πνεῦμα· καὶ ᾗ φησιν ὁ θεο-
λόγος γρηγόριος ἐν τοῖς περὶ υἱοῦ. ἴδιον ἢ
τοῦ μὲν ἀνάρχου. πατρὸς, τοῦ δὲ ἀνάρχως γεν-
νηθέντος, υἱός· τοῦ δὲ ἀγεννήτως προελθόν-
τος ἢ καὶ προϊόντος τὸ πνεῦμα τὸ ἅγιον, καὶ ὁ
δαμασκηνὸς ἐν τοῖς θεολογικοῖς αὐτοῦ
κεφαλαίοις· διὰ τοῦ πατέρα εἶναι ὁ υἱὸς καὶ
τὸ πνεῦμα πάντα ὅσα ἔχει. τουτέστι διὰ τὸ τὸν

πατέρα εἶναι

πρὸς ἔχειν ἀλλά. πλὴν τῆς ἀγεννησίας
καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως.
ἐν ταύταις γὰρ μόναις ταῖς ὑποστατικαῖς
ἰδιότησι διαφέρουσιν ἀλλήλων αἱ ἅγιαι
τρεῖς ὑποστάσεις. ἐν τούτοις ἄρα διαφέρου-
σι μόναις. ὅτι ὁ μὲν ἐστι πατήρ· καὶ οὔτε υἱὸς
οὔτε πνεῦμα. ὁ δὲ υἱὸς, υἱὸς καὶ οὔτε πατήρ,
οὔτε πνεῦμα τὸ δὲ πνεῦμα πνεῦμα καὶ οὔτε
πατὴρ οὔτε υἱός. οὐ γὰρ φύσεων διαφορὰν
ἐμφαίνουσι τὰ ὀνόματα ταῦτα. ἀλλ᾽ ὡς ἐν τοῖς
περὶ υἱοῦ ὁ θεολόγος ἔφησε γρηγόριος.
οὔτε οὐσίας ὄνομα ὁ πατὴρ οὔτε ἐνεργείας
εἰπών. σχέσεως δὲ καὶ τοῦ πῶς ἔχει πρὸς τὸν

υἱοῦ ὁ πατήρ· ἢ ὁ υἱὸς πρὸς τὸν πατέρα. καὶ
ὡς ὁ μέγας βασίλειος ἐν ἀντιρρητικοῖς πρώ-
τῳ· σιωπᾶσθαι λέγων δικαίως ἂν φήσει-
μεν τὴν ἀγεννήτου φωνήν. τῆς τοῦ πατρὸς φωνῆς
ἴσον δυναμένης τῷ ἀγεννήτῳ. πρὸς τῷ καὶ
τὴν περὶ τοῦ υἱοῦ ἔννοιαν συνημμένως ἑαυ-
τῇ διὰ τῆς σχέσεως συνεφέλκειν, ὅπως δὲ
κατὰ τὸ δυνατὸν καὶ τὴν ἀσφαλέστερον περὶ
τούτων ἐννοῶμεν ταῖς ἀρχαῖς ἀκολουθοῦν-
τες τῆς πίστεως. λέγωμεν ὧδε ἐπειδὴ παρὰ
τῆς πίστεως ἔχομεν ὅτι θεὸς ἐκ θεοῦ γεννᾶται.
δύο πρόσωπα νοοῦνται τὸ μὲν, γεννῶν
τὸ δὲ γεννώμενον καὶ ἔχουσιν αὐτὴ θέσιν κατ'

τὰ πρός τι. τεσσάρων γὰρ οὐσῶν ἀντιθέσεων,
ἐπεὶ τὰ ἀντικείμενα τετραχῶς στοιχίζον-
ται, ἢ κατὰ τὰ ἐναντία, οἷον λευκὸν καὶ
μέλαν. ἢ κατὰ στέρησιν καὶ ἕξιν. οἷον βλέ-
πειν τὸ ὀφθαλμός ἐστι τὸ μὲν γὰρ ἕξεως ἐστὶ τὸ
βλέπειν. τὸ δὲ, στερήσεως ἢ κατὰ ἀπό-
φασιν καὶ κατάφασιν. οἷον ἄνθρωπος ἐστίν. ἄν-
θρωπος οὐκ ἔστιν, ἢ κατὰ τὰ πρός τι. οἷον
τὸ πρός τι μέγα μικρόν. τεσσάρων οὖν τῶν
ἀντιθέσεων οὐσῶν, τὰ ἐν ταῖς οὐσίαις θεω-
ρούμενα, πρός τι κατὰ τὸ αἴτιον καὶ αἰ-
τιατὸν χώραν ἔχουσιν ἐν τῇ ἀρχῇ τελοῦσι.
ἐπεὶ κατὰ ταύτην τὴν σχέσιν τῶν πρός τι

ὃ εἰσποιεῖται ἢ παράγον ὅμοιον ἑαυτῷ· ὡς
ὁ γεννῶν ἐξ ἑαυτοῦ υἱὸν ὅμοιον ἑαυτῷ
ἐν τῷ αὐτῷ εἴδει. τὰ δὲ ἄλλως ἀντικείμενα
τὰ μὲν διάφορα πράγματα ὑπάρχοντα. τὰ
∴ γρ. τὸ ἀλλ' ἐκλον — δὲ ἀλλ' ἐλήθεα δὲ μὴ ὄντα. ἐπὶ τοῦ θεοῦ τοῦ
κυρίως ὄντος καὶ ἀεὶ ὡσαύτως ἔχοντος καὶ
τελειοτάτου χώραν οὐκ ἔχοντα μακρὰν
ἐκβάλλονται πρός τι δὲ λέγονται. ὅσα λεγό-
μενα πρὸς ἕτερα λέγονται. καὶ σχέσιν ἔ-
χουσι πρὸς αὐτά. καθ' ἑαυτὰ δὲ μὴ δυνά-
μενα λέγεσθαι. οἷον πατὴρ υἱός. δοῦλος δεσ-
πότης· ταῦτα γὰρ οὐ λέγονται καθ' ἑαυτά·
ἀλλὰ πρὸς ἕτερα σχέσιν καὶ συναφείαν ἔ-

χοντα πρὸς ἄλληλα. διὸ καὶ ἀναφορικὰ
καλοῦνται. καὶ γὰρ τὸ πατὴρ ὄνομα οὐ πρὸς
ἑαυτὸ ἵσταται, ἀλλὰ πρὸς ἕτερον ἀφορᾷ
τὸ τοῦ υἱοῦ ὄνομα. καὶ ὁ υἱὸς πρὸς τὸν
πατέρα τὸν ὅμοιον τρόπον. ὅθεν οὔτε πατὴρ
ἐστὶ χωρὶς υἱοῦ οὔτε υἱὸς χωρὶς πατρός. ἑ-
κάτερον γὰρ τὸ ἕτερον συνημμένως διὰ
τῆς σχέσεως συνεισάγει. καὶ τὰ ἄλλα δὲ τὰ
κατὰ τοῦτον τὸν τύπον ὁμοίως ἔχουσιν.
ἀπολελυμένα δὲ ὀνόματα λέγονται
τὰ ἐναντίως ἔχοντα τούτοις. ὅθεν καθέ-
αυτὰ λέγονται καὶ οὐ πρὸς ἕτερα σχέσιν
ἔχουσιν, ἀλλ᾽ εἰσὶν ἀπολελυμένα καὶ ἀσ-

χεται· οἷον καλόν, δίκαιον· ἀγαθόν. τοῦτα
γὰρ καθ' ἑαυτὰ λέγεται καὶ οὐ πρὸς ἕτερον
ἀποδίδοται. ἐπεὶ τοίνυν ἐνταῦθα τετρα-
δι εἴρηται γινώσκων καὶ γινωσκόμενον, δύο πρό-
σωπα νοοῦνται. καὶ ἔχουσιν ἀντίθεσιν
πρὸς ἄλληλα κατὰ τὰ πρός τι. ἔστι γὰρ τὸ μὲν
αἴτιον τὸ δὲ αἰτιατόν· ὁ δὲ λόγος καὶ τὸ ἰ-
δίωμα τῆς ἀντιθέσεως ἐστι. τὸ μὴ εἶναι τῶν
ἀντικειμένων τὸ ἕτερον, οἷον τὸ ἕτερον, ὡς
τὸ λευκόν. ἀδύνατον εἶναι μέλαν καὶ τὸ
μὴ ἂν λευκὸν ἐφόσον ἀντίκειται. εἰ δὲ
τὸ τῶν οὕτως ἔχει. ἀδύνατον εἶναι καὶ τὸ αἴ-
τιον ὁμοῦ καὶ αἰτιατόν. τοῦτ' ἐστι τόν

αὐτὸν γεννῶντα καὶ γεννώμενον εἶναι· δύο
μόνον προσώπων θεωρουμένων τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ. πολλῶν γὰρ προσώπων ὥσ-
περ ἐν ἄλλοις ὑποκειμένων οὐδὲν κωλύει
τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καθάπερ
εἴπομεν. δύο δὲ προσώπων ὑποκειμένων
καὶ τοῦ μὲν κυρίως ὄντος πατρός· τοῦ δὲ
κυρίως ὄντος υἱοῦ· ὡς ἐπὶ τῆς ἁγίας τρι-
άδος ἔχει τὸν αὐτὸν εἶναι ὁμοῦ πατέρα καὶ
υἱὸν παντελῶς ἀδύνατον, καὶ ἀπάντων ἢ
πλὴν εἰ σχηματικῶς ἐστίν. ὅταν δύο πρό-
σωπα θεωρῶμεν· τὸ μὲν γεννῆσαν, τὸ δὲ
γεννηθέν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν αὐ-

τοῖς ἀναφορὰ καὶ σχέσις θεωρεῖται ἀ-
κοινώνητος. ἀδύνατον γὰρ τὸν γεννήσαντα
τὸν ἕτερον, τὸν αὐτὸν καὶ γεννηθέντα εἶναι
ἐκ τοῦ αὐτοῦ γεννηθέντος προσώπου. ἀν-
τίθεσις γάρ ἐστιν ἐν αὐτοῖς κατὰ τὰ πρός τι.
καὶ οὐκ ἔστι τὸ ἓν οἷον τὸ ἕτερον. τὸν ὅμοιον
οἷον τρόπον καὶ ἐν τῇ ἁγίᾳ τριάδι ἐπὶ τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ δύο πρόσωπα νοοῦνται.
καὶ ἔστι ἀναγκαίως διὰ τὸν λόγον τῆς προσώ-
που. ἐπειδὴ ἡ γραφὴ διδάσκει τὸν υἱὸν ἐκ
τοῦ πατρὸς γεννᾶσθαι. καὶ οὐκ ἔστι. οὔτε ὁ
πατὴρ υἱὸς οὔτε ὁ υἱὸς πατὴρ κατὰ τὸν τῆς
ἀντιθέσεως λόγον. πάλιν ἐπειδὴ πατρὰ

τῆς πίστεως εἴρηται τὸ ἐκ θεοῦ ἐκπορευό-
μενος καὶ τοῦτο αὐτὸ τῆς ἀντιθέσεως λό-
γον. ἀδύνατον εἶναι τὸν αὐτὸν προβο-
λέα καὶ πρόβλημα. οὐδὲ γὰρ ἐστὶ τὸ αὐ-
τὸ πρὸς τὸ αὐτό. καὶ αἴτιον καὶ αἰτιατόν.
ἡ γὰρ ἀντίθεσις τοῦτο οὐδαμῶς συγχωρεῖ.
ὁ δὲ πατὴρ τὸ μὲν ἐστιν ἐξ οὗ τὸ γεννᾶται.
καὶ τὸ ἐκπορεύεται. ἐκ θεοῦ δὲ οὐκ ἐστιν.
εἰ γὰρ ἐστὶ καὶ αὐτὸς τὸ ἐκ θεοῦ. ἢ ἐκ τοῦ υἱοῦ
ἔσται καὶ ἐκ τοῦ πνεύματος. ἢ ἐξ ἑαυτοῦ ἢ ἐξ
ἄλλου. ἐκ τοῦ υἱοῦ μὲν οὖν ἢ ἐκ τοῦ πνεύματος
οὐκ ἐστι. διότι αὐτός ἐστιν αἴτιος αὐτῶν, καὶ
ἀδύνατον εἶναι τὸν πατέρα ἐκ τοῦ υἱοῦ ἑαυ-

του. ἢ ἐκ τοῦ προβλήματος ἑαυτοῦ. ἐξ αὐ-
τοῦ δὲ οὐκ ἔστιν. ἀδύνατον γὰρ ὑφεστὼς πρό-
σωπον αἰτιατὸν αὐτὸ ἑαυτοῦ αἴτιον εἶναι.
ἀλλ' οὐδὲ ἐξ ἄλλου ἐστίν. νῦν γὰρ ἀντέβαλες ὁ
θεὸς ἢ καὶ ἐπέκεινα τῆς τετράδος, ἀνήρηκας
τετράδα ἐπισπάσθημεν εἶναι τὸν θεόν. ὥστε
θεὸς μέν ἐστιν ὁ πατήρ· ἐκ θεοῦ δὲ οὐκ ἔστιν. ὁ δὲ
υἱὸς θεός ἐστιν ἐκ θεοῦ τοῦ πατρὸς γεννώμενος.
καὶ τὸ πνεῦμα θεός ἐστιν ἐκ τοῦ πατρὸς ὡς ἐκ προ-
βολέως ἐκπορευόμενος. ἤγουν αἰτιατοῦ
εἶναι τρία πρόσωπα τοῦ θεοῦ ἡ πρόοδος
ἐστίν. ὅτι τὸ μὲν αἴτιον εἴρηται, τὸ δὲ ἐκ τῆς
αἰτίας. δηλονότι ὅτι θεὸς ἐκ θεοῦ γεννᾶται.

καὶ δι' ἧς ἐκ θεοῦ ἐκπορεύεται, καὶ ἕπεται
ἀναγκαίως κυρίως εἶναι πατέρα καὶ υἱὸν
καὶ ἅγιον πνεῦμα, καὶ μὴ φύσεις ἐκείνων τὰ ὀ-
νόματα ταῦτα ἀλλὰ σχέσεις δηλοῦν, πῶς ἔ-
χουσι τὰ τρία πρόσωπα πρὸς ἄλληλα κα-
θάπερ ὁ θεολόγος γρηγόριος ἔφη. καὶ
μηδεμίαν σύγχυσιν ἐν τούτοις ἀκολουθεῖν.
εἰ γὰρ διὰ τὴν ἑνότητα τῆς οὐσίας ὁ υἱὸς
ἐν τῷ πατρί. καὶ ὁ πατὴρ ἐν τῷ υἱῷ. καὶ τὰ τρία
πρόσωπα ἐν ἀλλήλοις εἰσίν. ὃ καὶ περιχώ-
ρησιν οἱ ἄλλοι καλοῦσιν, οὐ μεταβολὴ καὶ
σύμφυρσις ἐντεῦθεν ὑπονοεῖται τῶν ὑπο-
στατικῶν ἰδιωμάτων. οὐδὲ ὥστε συναλ-

φέρεσθαι αὐτῷ ὥστε ἕλκεσθαι κατ' αὐτὸν αὐτόν
θεολόγον φησὶ δὲ καὶ Γρηγόριος ὁ Νύσσης
ἐν τοῖς κατ' Εὐνομίου· κατ' ἄγνω καὶ ἄγνω
δηλαδὴ ἐπίνοιαν ἕκαστος ἐν τῷ ἑτέρῳ
εἶναι λέγεται· ὁ μὲν υἱὸς ἐν τῷ πατρί· ὡς
τὸ ἐπὶ τῆς εἰκόνος κάλλος ἐν τῇ ἀρχετύπῳ
μορφῇ· ὁ δὲ πατὴρ ἐν τῷ υἱῷ, ὡς ἐν τῇ εἰκόνι
αὐτοῦ τὸ πρωτότυπον κάλλος· ἡ πρόοδος οὐκ
ἔστιν αἰτία. καὶ γὰρ εἰ μὴ θεὸς ἐκ θεοῦ ἐγεν-
νᾶτο καὶ θεὸς ἐκ θεοῦ ἐξεπορεύετο· οὐκ ἂν
ἦν πρόοδος. εἰ δὲ μὴ πρόοδος ἦν, οὐκ
ἂν ἡ [illegible] τριάς. εἰ δὲ μὴ τριὰς πρόσωπα ἦν,
πῶς αἰτίας ὁ θεὸς ἐκπορεύεται· ἐπεὶ καί

κατὰ ταῦτα ὀνόματα ὅσα ἐστὶν ἀπολε-
λυμένα μὴ ἔχοντα σχέσιν πρὸς ἕτερα
δι᾽ ὧν ὁ δεῖς ὀνομάζεται ἢ σοφὸς ἢ ἀγαθὸς
ἢ δημιουργός, οὐ διακρίνεται καθ᾽ ἑαυ-
τὸν κατὰ τὰ πρόσωπα· ὅθι οὖν ἐστὶ ταῦτα
ἀναφορικὰ ὀνόματα πρὸς ἕτερα λεγό-
μενα ἐν ἑαυτῷ σχετικῶς καὶ ἀντιθετικῶς
καὶ πρόσοδον δηλοῦντα ὡς ἔχουσι τὰ πρὸς
τι· οἷον πατὴρ υἱός, γυναικῶν γυναικώμενος· προ-
βάτων προβατόμενος· ἃ καὶ πρόσοδον
δηλοῦσι καὶ πρόσωπα ἐμφαίνουσι· καὶ διά-
κρισιν ἀναγκαίως· διάγουσι τοῦ πρὸ δ᾽ ἐπίσης
καὶ ὁμοίως ἐστὶν ὁ πατὴρ σοφός, ἀγαθός· δη-

μιουργός. Καὶ ὁ υἱὸς Θεὸς ἀγαθὸς δημιουργός· ὡς εἰς δὲ τὰ τρία Θεὸς ἀγαθὸς δημιουργός. τὸ δ' αὐτὸ καὶ ἐπὶ πάντων τῶν ὀνομάτων συμβαίνει τῶν ὡσαύτως ἐχόντων. συνέρχονται γάρ, καὶ ὡς ἐφ' ἑνὸς λέγονται. ὅθεν μὴ ἔχουσιν ἀντίθεσιν πρὸς ἄλληλα, καὶ μήτε τῆς τριάδος λέγω, μήτε τῆς μονάδος ἀντιποιοῦνται. κατὰ ταῦτα μὲν οὖν οὐ διακρίνεται καθ' ἑαυτὸν προσωπικῶς. πρὸς δὲ τὴν κλίσιν διακρίνεται. πρὸς ἡμᾶς γὰρ λέγεται καὶ ἀγαθὸς καὶ δημιουργός. καὶ πρόνοια. καὶ παντεπόπτης, καὶ παντοκράτωρ, καὶ τἆλλα,

καὶ πατὴρ δὲ λέγεται τῆς κτίσεως καὶ πατὴρ
τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους. εἷς γὰρ θεὸς ὁ
πατήρ, ἐξ οὗ τὰ πάντα. ἀλλ' ὅταν τοῦτο λέγῃ
ἡ γραφή, οὐ διάκρισιν ἐννοοῦμεν πατρὸς καὶ
υἱοῦ. ἀλλ' οὐδὲν ἧττον καὶ τὸν υἱὸν καὶ τὸ
πνεῦμα πατέρα τῆς κτίσεως διδασκόμεθα. ὡς
ἕνα πατέρα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁ-
γίου πνεύματος καὶ τῆς κτίσεως ἁπάσης αἴ-
τιον. εἰ γὰρ πατὴρ ἐνοεῖτο τὸ πρόσωπον τοῦ
πατρὸς καθ' ὃν τρόπον πατὴρ ἐστὶ τοῦ υἱοῦ· ὅ-
ταν δηλονότι πατὴρ τῆς κτίσεως λέγηται,
τότε ἂν καὶ ὁ υἱὸς ἐκ τῶν πάντων. ἀλλ' ἀ-
μιὰ ὁμοούσιον καὶ συναΐδιον ἡ θεία-

γραφὴ τὸν υἱὸν τῷ πατρὶ διδάσκει, ὥστε καὶ
ἄλλον τρόπον λέγεται παρὰ τοῦ υἱοῦ, καὶ
παρὰ τῶν πάντων. τὸ μὲν ἀναφορικῶς δη-
λονότι καὶ καθ᾽ ἑαυτόν. τὸ δὲ ἀπολελυ-
μένως καὶ πρὸς τὴν κτίσιν καθάπερ εἴπω-
μεν, ὃ καὶ τὸ τοῦ πατρὸς πρόσωπον καὶ τό τι
νοεῖται. καὶ περὶ αὐτοῦ λέγει ὁ ἀπόστολος
εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα. ἐπάγει δὲ. καὶ
εἷς κύριος Ἰησοῦς Χριστὸς δι᾽ οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα
ἅγιον ἐν ᾧ τὰ πάντα. διὰ τούτων τὴν προ-
καταρκτικὴν αἰτίαν αἰνιττόμενος τὸν πατέρα,
τὴν δημιουργικὴν τὸν υἱόν. τὴν τελειωτι-
κὴν τὸ πνεῦμα τὸ ἅγιον. τούτων δὲ διωρισμέ-

-νων, κατὰ μὲν τὴν οὐσίαν οὐκ ἔστι τριάς
ὁ θεός· κατὰ δὲ τὰς θείας καὶ ἀπορρήτους
προόδους. ἔστι καὶ ὁμολογεῖται τριάς.
τὸ γὰρ εἶναι διὰ τὸ ἐκ θεοῦ τοῦ πατρὸς ποιεῖ τὰ πρό-
σωπα. ὅθεν οὐδὲ τρία πρότερον νο-
οῦνται. εἶτα τὸ μὲν ἐστι γεννῶν. τὸ δὲ
γεννώμενον, τὸ δὲ προβαλλόμενον. οὕτω
γὰρ ἀναχθήσονται καὶ χωρεῖς τῶν προό-
δων τρεῖς οὐσίαι. ὅπερ ἐστὶ τοῦ ἀρειανικοῦ
δόγματος καὶ οὕτως οὔτε δὴ ἕνα ὁμολο-
γήσομεν μίαν οὐσίαν. καὶ τὸ δόγμα τῆς
μοναρχίας οἰχήσεται. τούτου γὰρ ὑποκει-
μένου δυνήσεταί τις λέγειν τρεῖς οὐσίας.

καὶ πρὸς θεούς· ὅπερ τοῖς ῥήμασιν ἀπορρί-
πτομεν· διὰ δὲ τὴν μονάδα καὶ τριάδα
διπλοῦς ἐστι τρόπος τῆς θεολογίας· ὁ μὲν
διακεκριμένος· ὁ δὲ ἀπολελυμένος ὀ-
νομαζόμενος. ὅταν μὲν γὰρ ἕνα θεὸν λέγω-
μεν ἀγαθὸν σοφὸν δίκαιον καὶ τοιαῦτα
καὶ περὶ τῆς ἀγαθότητος αὐτοῦ καὶ προ-
νοίας καὶ τῶν ἄλλων διαλεγόμεθα· τότε
οὐδεμία νοεῖται διάκρισις πατρὸς υἱοῦ καὶ
ἁγίου πνεύματος· ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς θεοῦ ταῦτα λέ-
γομεν· καὶ τοῦτο καλεῖται ἡνωμένη θεολο-
γία ἐκ τῶν ἀπολελυμένων ὀνομάτων
συνισταμένη· ὅταν δὲ τὸν ἕνα θεὸν πατέρα λέ-

γωμένου καὶ υἱὸν καὶ πνεῦμα, καὶ περὶ τῶν
προσώπων τέ καὶ ἰδιοτήτων καὶ ὑποστά-
σεων πῶς διαλεγόμεθα, οὗτος ὁ τρόπος
τῆς περὶ θεοῦ διαλέξεως καλεῖται δια-
κεκριμένη θεολογία. ἐκ τῶν διακε-
κριμένων ὀνομάτων συνισταμένη, τὸ αὐ-
τὸ δὲ ἐστιν οὐσία καὶ φύσις καὶ πρόσω-
πον καὶ ὑπόστασις. περὶ τούτων γὰρ φη-
σιν καὶ ὁ θεολόγος γρηγόριος, οὐ περὶ τῶν
ὀνομάτων ζυγομαχοῦμεν ἕως ἂν αἱ συλ-
λαβαὶ πρὸς τὴν αὐτὴν ἔννοιαν φέρω-
σιν. ἀλλὰ μίαν καὶ ἰδιότητα καὶ ὑπόστα-
σιν, ἢ πρόσωπον τὸ αὐτὸ. οὗτος ὁ ἄλλος

λέξει, θεοῦ δὲ ὅλαν εἴπω ἐνὶ φωτὶ περια-
στράφθητε καὶ τρισί· τρισὶ μὲν κατὰ τὰς
ἰδιότητας. ἑρμηνεύων δὲ τὴν ποτὲ εἰρημένην
ἰδιότητας, ἐπήγαγεν εἴτ' οὖν ὑποστά-
σεις. καὶ τοῦτο μὲν ἐν τῷ εἰς τὰ φῶτα λόγῳ
φησίν. ἐν δὲ τῷ εἰς τὸν μακάριον Ἀθανά-
σιον. τῆς μιᾶς οὐσίας καὶ τῶν τριῶν ὑ-
ποστάσεων λεγομένων ἐφ' ἡμῶν εὐσεβῶς
εἰπών. ἐπήγαγε τὸ μὲν γὰρ τὴν φύσιν δη-
λοῖ· τὸ δὲ τὰς τῶν τριῶν ἰδιότητας. ἐκεῖ τοί-
νυν τὰς ἰδιότητας περιειληφώς. εἰς τὰς
ὑποστάσεις ἡρμήνευσεν. ἐν τούτοις δὲ,
τὰς ὑποστάσεις εἰς τὰς ἰδιότητας ὅτε μὲν

ὅταν τὸν θεὸν λέγωμεν σοφὸν καὶ ἀγαθὸν
καὶ ζῶντα. τότε τὸν ἕνα θεὸν σημαίνομεν
καὶ τὸ κοινὸν τῆς οὐσίας. ὅτε δὲ λέγομεν
ὄνομα διακεκριμένον. τουτέστιν ὄνομα
ὑποστατικὸν μιᾶς τῶν θείων ὑποστάσεων.
οἷον ἢ πατέρα ἢ υἱόν. ἢ πνεῦμα ἅγιον. αὐτὸ
πάλιν τὸ κοινὸν σημαίνομεν μετά τινος
ἰδιάζοντος. τὴν γὰρ ὑπόστασιν ὁ δαμασκη-
νὸς καὶ οἱ ἄλλοι ἅγιοι. οὕτως ὁρίζονται.
τὸ κοινὸν μετὰ τοῦ ἰδιάζοντος. εἰ γὰρ ἄλλο
μέν ἐστιν ὁ θεός ἄλλο δὲ αἱ τρεῖς ὑποστάσεις.
φησὶ γὰρ ὁ θεολόγος γρηγόριος. θεὸν δὲ
ὅταν εἴπω. λέγω πατέρα καὶ υἱὸν καὶ

ἁγίου πνεύματος. Καὶ πάλιν· ἔνθα δ' ἐν τρισὶν
ἡ θεότης· καὶ τὰ τρία ἔνθα ἐν οἷς ἡ θεό-
της, ἢ τό γε ἀκριβέστερον εἰπεῖν· ἃ ἡ θεό-
της. ἐξέφυγε τὸ ἐν οἷς ἵνα μὴ σύνθεσις
ὑπονοηθῇ ὡς ἄλλα τὰ πρόσωπα ἐν ἄλλῃ
τῇ οὐσίᾳ. καὶ τὸ ἀκριβέστερον προσέθη-
κεν εἰπὼν ἃ ἡ θεότης. καὶ ὁ θεῖος Μάξι-
μος· οὐχ ὡς ἄλλην τὴν μονάδα καὶ ἄλλην
τὴν τριάδα ἐπισταχθημένην εἶναι, ἀλλὰ
τὴν αὐτὴν ὡς ἀληθῶς μονάδα καὶ τριά-
δα λεγομένην· τὴν μὲν τῷ κατ' οὐσίαν λόγῳ,
τὴν δὲ τῷ καθ' ὕπαρξιν τρόπῳ. καὶ πάλιν
ἀλλαχοῦ ἡ αὐτὴ μονὰς καὶ τριὰς ὅλη μο-

ναὶ ἡ αὐτὴ καὶ ὅλη τριάς. ἡ αὐτή. μο-
νὰς ὅλη κατὰ τὴν οὐσίαν ἡ αὐτή. καὶ τριὰς
ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐτή. ὥστε
καλῶς ἐλέγετο ἓν μὲν εἶναι τὸν θεὸν κατὰ
τὴν οὐσίαν τρία δὲ κατὰ τὰς προόδους.
δηλονότι ἐν οὐδενὶ ἄλλῳ διαφορὰν ἐ-
χόντων τῶν τριῶν, ἢ ὅτι τὸ μὲν αἴτιον τὸ
δὲ ἐκ τῆς αἰτίας. καὶ τοῦ δὲ ἐξ αἰτίας τὸ μὲν
γεννητῶς. τὸ δὲ ἐκπορευτῶς. τοῦτο γὰρ καὶ ὁ
νύσσης γρηγόριος γράφει λέγων τὸ ἀπα-
ράλλακτον τῆς φύσεως αὐτοῦ ἐννοοῦν-
τες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν
διαφορὰν οὐκ ἀρνούμεθα. ἐν ᾧ μόνῳ

δι' ἕτερον τοῦ ἑτέρου διακρίνεσθαι καὶ κατα-
λαμβανόμενον. ταὐτὸ μὲν αἴτιον εἶναι τὸ
δὲ ἐκ τῆς αἰτίας. εἰ γὰρ ἄλλο μέν ἐστιν ἡ μο-
νὰς ἐπὶ τούτων ἡ θεότης. ἄλλο δὲ ἡ τριὰς τοῦ-
τ' ἔστιν αἱ ὑποστάσεις, τετρὰς ἔσται τὸ λαμβανό-
μενον. εἰ δὲ καὶ αἱ ἰδιότητες ἕτεραι τῶν
ὑποστάσεων. ἕως ἑπτάδα προχωρήσει. ἀλλ'
ὁ θεῖος μάξιμος μονάδα καὶ τριάδα τὴν
αὐτὴν ἔφησε τὸ μὲν τῷ κατ' οὐσίαν λόγῳ,
τὸ δὲ τῷ καθ' ὕπαρξιν τρόπῳ. φησὶ δὲ καὶ
ὁ θεῖος ἀθανάσιος ἐν λόγῳ ᾧ ἐπιγράφει
καλῶς εἴρηται τοῖς ἐν νικαίᾳ περιέχουσιν ἡ
λέξις τοῦ ὁμοουσίου. διὸ οὐδὲ τῶν κλί-

σιν αὐτοῦ

στιν ἄλλου τοῦ ὄντος θεοῦ δημιούργημα
εἶναι φήσετε. εἴ γε τὸ πῦρ καὶ τὸ θεὸς οὐκ
αὐτὴν τὴν τοῦ ὄντος οὐσίαν σημαίνουσιν,
ἀλλ᾽ ἕτερόν τι ὅπερ ὑμεῖς ἀναπλάττετε.
ἀλλ᾽ ἄλλο τι ἀπρεπὲς καὶ λίαν ἀσεβές ἐστι,
καὶ μόνον ἐνθυμηθῆναι. ἡμεῖς δὲ ὅταν ἀ-
κούωμεν ἐγώ εἰμι ὁ ὤν. καὶ ἐν ἀρχῇ ἐ-
ποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ
ἄκουε ἰσραὴλ κύριος ὁ θεός σου κύριος εἷς ἐστι, καὶ τά-
δε λέγει κύριος παντοκράτωρ οὐχ ἕτερόν τι
ἀλλ᾽ αὐτὴν τὴν ἁπλῆν καὶ μακαρίαν καὶ
ἀκατάληπτον τοῦ ὄντος οὐσίαν σημαί-
νομεν, καὶ εἰ ἀδυνάτως ἔχωμεν καταλα-

βεῖν ὅτι ποτέ ἐστι καὶ ὅμως ἀκούοντες
τὸ πατὴρ καὶ τὸ υἱὸς καὶ τὸ παντοκράτωρ·
οὐχ ἕτερόν τι ἀλλ' αὐτὴν τὴν τοῦ ὄντος οὐ-
σίαν σημαινομένην νοοῦμεν. εἰρήκατε
δὲ καὶ ὑμεῖς, οἱ ἀρειανοὶ δηλονότι, ἐκ τοῦ
θεοῦ τὸν υἱόν, δηλονότι ἐκ τῆς οὐσίας
τοῦ πατρὸς αὐτοῦ εἰρήκατε. καλῶς ἄρα ἐλέ-
γομεν ὅτι καὶ θεὸν καὶ πατέρα λέγοντες, τὸν αὐ-
τὸν καὶ ἕνα δηλοῦμεν θεόν· τουτέστι τὸν αὐ-
τὸν καὶ τοῖς ἀπολελυμένοις ὀνόμασι καὶ
τοῖς διακεκριμένοις σημαίνεσθαι. καὶ διὰ
μὲν τῶν ἀπολελυμένων ἤγουν τοῦ θεὸς καὶ
ἀγαθός. τὸ κοινὸν τῆς οὐσίας καὶ ὅλον ση-

μαίνει· διὰ δὲ τῶν ὑποστατικῶν ὅταν
δηλονότι πατέρα λέγωμεν, ἢ υἱὸν ἢ πνα,
πάλιν αὐτὸ τὸ κοινὸν καὶ ὅλον μετὰ τοῦ
ἰδιάζοντος· εἰ γὰρ καὶ οἱ ἅγιοι φασὶν ἄλ-
λο μὲν εἶναι τὴν οὐσίαν ἄλλο δὲ τὴν ὑπό-
στασιν οὐχ ὡς ἄλλο καὶ ἄλλο πράγματα ἰ-
δία νομίζουσιν· ὡς εἶναι συμβαίνειν ὑ-
πόστασιν ἀνούσιον καὶ οὐσίαν ἀνυπόστα-
τον· ὅπερ ὁ μέγας βασίλειος ἄτοπον
φησὶν ἐν τῇ πρὸς τερέντιον κόμητα ἐπι-
στολῇ, καὶ γὰρ πᾶσα οὐσία μετά τινων ἰ-
διωμάτων θεωρεῖται· καὶ τὰ ἰδιώματα
οὐσίαν ἔχουσι περὶ ἣν θεωροῦνται. ἡ

γὰρ ὑπόστασις τὸ κοινὸν μετὰ τοῦ ἰδιάζοντος
εἴρηται. ἀλλ᾽ ἐπὶ ταύτης τῆς ἐννοίας οἱ ἅ-
γιοι εἶπον ὡς ὁ μέγας βασίλειος ἐν τῇ αὐ-
τῇ φησιν ἐπιστολῇ. ὅτι ὃν λόγον ἔχει τὸ κοι-
νὸν πρὸς τὸ ἴδιον, τοῦτον ἔχει οὐσία πρὸς
τὴν ὑπόστασιν. ἐν δὲ τῇ πρὸς ἀδελφὸν
τὸν γρηγόριον ἐπιστολῇ, περὶ διαφορᾶς
οὐσίας καὶ ὑποστάσεως, φησίν. ὁ μὲν τῆς
κοινότητος λόγος εἰς τὴν οὐσίαν ἀνάγεται.
ἡ δὲ ὑπόστασις τὸ ἰδιάζον ἑκάστου σημεῖον
ἐστίν. ἀλλ᾽ ἄρα τὸ μὲν κοινόν, τῷ ἁπλῶς εἶναι
λέγει. τὸ δὲ ἴδιον. τῷ πῶς, καὶ γὰρ τὸ θεὸς ὄνο-
μα ὡς κοινότερον ἐπὶ τῆς θεότητος ἐκ

λαμβάνον, ἢ ἐν ὁποιονοῦν τῶν ὑποστα-
τικῶν καὶ ἰδιαζόντων ὀνομάτων. οἷον πατὴρ
ἢ υἱός, ἐπὶ τοῦ δὲ ἀντιστρέφει. ὁ μὲν γὰρ πατὴρ
καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον θεός ἐστι θεός·
ὁ δὲ θεὸς οὐ πάντως καὶ πατήρ ἐστιν. θεὸς γὰρ ἔ-
στιν ὁ πατήρ· ἀλλ' υἱὸς οὐκ ἔστιν οὔτε πνεῦμα.
καίτοι τοῦ υἱοῦ θεοῦ ὄντος καὶ τοῦ πνεύματος ὁ-
μοίως. καὶ ἄλλως δὲ τὸ μὲν τὸ κοινὸν τὴν
οὐσίαν ἐνταῦθα δηλοῖ. καὶ οἷον τῷ κα-
θόλῳ ἀναλογεῖ· ἀλλ' οὕτως ἔχει ὥσπερ ὅ-
ταν λέγωμεν ἄνθρωπος ἐστὶ ζῷον λογικόν ἀκο-
λουθήσει τὴν ὑπερούσιον θεότητα κα-
θάπερ τὰ γένη καὶ τὰ εἴδη καλέσομεν πλο-

κεῖν ἐν μόνῃ τῇ διανοίᾳ συνίστασθαι. αὐτὸς

ὁ ἐκ δαμασκοῦ θεολόγος τοῦτο ἀναπτύ-

ττει λέγων. ἐπὶ μὲν οὖν τῶν κτισμάτων

ἡ τῶν ὑποστάσεων διαίρεσις πράγματι

θεωρεῖται. πράγματι γὰρ ὁ παῦλος τοῦ

πέτρου κεχωρισμένος θεωρεῖται. ἡ δὲ

κοινότης καὶ ἡ συνάφεια καὶ τὸ ἕν, λό-

γῳ καὶ ἐπινοίᾳ θεωρεῖται. καὶ μετ᾽ ὀλίγα.

ἐπὶ δὲ τῆς ἁγίας καὶ ὑπερουσίου καὶ πάν-

των ἐπέκεινα καὶ ἀλήπτου τριάδος

τὸ ἀνάπαλιν ἐκεῖ γὰρ τὸ μὲν κοινὸν καὶ

ἓν πράγματι θεωρεῖται, ἐπινοίᾳ δὲ τὸ

διῃρημένον. φαίνεται τοίνυν ἐκ τούτων

ὅπερ ἐλέγομεν ὅτι τὸ κοινὸν τῆς οὐσίας
ἐστὶ τοῦτο ἡ κοινὴ οὐσία καὶ διὰ τῶν ἀπολε-
λυμένων ὀνομάτων δηλοῦται· καὶ διὰ τῶν
ἀναφορικῶν τὸ αὐτὸ κοινὸν πάλιν τῆς οὐ-
σίας διακεκριμένως ὡς προσωπικῶς
ἐννοούμενον, καὶ δῆλον ὅτι ἡ πατρότης καὶ
ἡ υἱότης καὶ ἡ πνευματότης ἐστὶν οὕτως
ὀνομάζειν· καὶ ἁπλῶς ἅπερ αἱ ἰδιότητες
ἐν μόνοις τοῖς ἀναφορικοῖς ζωίζανται.
καὶ ὅτι οὐκ ἔστι ἡ διάκρισις αὕτη παρὰ τὰ
διὰ πρόσωπα· δηλονότι παρὰ τὸ τὸν μὲν
εἶναι πατέρα τὸν δὲ υἱόν· τὸ δὲ πνεῦμα ὥσπερ οὐδ'
ἄλλο μὲν ἐστὶν ἡ ἕνωσις ἄλλο δὲ ἡ οὐσία· ἤ

γὰρ ἐστὶν ἡ διάκρισις αὐτὴ περὶ τὸ τὸ ὂν μὲν
εἶναι, περὶ τὸ ὂν δὲ ἢ ὂν τὸ δέ τινα ἐστὶ καὶ
ἡ ἕνωσις αὐτὴ περὶ τὴν οὐσίαν. αὐτὰ τοῦ-
το ἄτοπον. οὕτω γὰρ ἐστὶν ἡ αὐτὸ τιμιώτε-
ρον τῆς οὐσίας. ἐπειδὴ τὸ ἑνοῦν τοῦ ἑνιζο-
μένου βέλτιον καὶ τιμιώτερον. καὶ εἰ ἐστὶν
αὐτὸ μὲν πρᾶγμα ἡ πατρότης· αὐτὸ δὲ υἱό-
της· αὐτὸ δὲ ἡ ἐκπόρευσις· ἐπεὶ οἱ λόγοι
τούτων διάφοροι· καὶ ἀντιθετικῶν αὐτὴ κεῖν-
ται· ἐστὶν ὁ θεὸς ἐκ διαφόρων καὶ ἀντιθέτων
συνιστάμενος. ταῦτα καὶ ὁ μέγας ἀθανα-
σιος λέγει ἐν τῇ πρὸς ἀνομοίους διαλέξει.
ὡς ζηλῶν θεὸν δῆθεν παρ' αὐτῶν ἀγνοούμενος

ὅτι εἴρηκεν ἄλλο οὐσίαν καὶ ἄλλο ὑπόστα-
σιν. ἐπιφέρει γὰρ οὐχ ὡς πρᾶγμα ἄλλο
καὶ ἄλλο εἶπον οὐσίαν καὶ ὑπόστασιν. ἀλλ'
ὡς ἄλλο τι σημαινούσης τῆς οὐσίας καὶ
ἄλλο τῆς ὑποστάσεως, ὡς ὁ κόκκος τοῦ σί-
του λέγεται καὶ ἔστι σπέρμα καὶ καρ-
πός. οὐχ ὡς πρᾶγμα ἄλλο καὶ ἄλλο. ἄλ-
λο δέ τι σημαίνει τὸ σπέρμα. καὶ ἄλλο ὁ
καρπός. ὥστε πρᾶγμα τὸ αὐτό ἐστιν οὐ-
σία καὶ ὑπόστασις μία γὰρ οὐσία. ἀλλ' ἄλ-
λο μὲν σημαινόμενον ὅταν αὐτὸ φαμὲν ὑ-
πόστασιν. ἄλλο δέ τι ὅταν οὐσίαν. ἡ γὰρ ὑ-
πόστασις ἐπὶ τῶν θείων. ἀναφορικόν τι ση-

μαίνει. ἡ δὲ οὐσία ἀπολελυμένος καὶ
τοῦτο δὲ κατ' ἐξοχὴν οὐσία καὶ ὑπόστασις, τὸ
τὴν μὲν ἁπλῶς. τὴν δέ, πὼς λέγεσθαι. τοῦ-
το ἄρα βούλονται οἱ ἅγιοι οὐ ταυτὸν οὐ-
σίαν καὶ ὑπόστασιν λέγοντες. ὥσπερ αὖ ἃ
ἔλεγον. ὅτι οὐ ταυτὸ ἐπὶ τῆς ὑπερουσίου
θεότητος τὸ ἀπολελυμένον καὶ τὸ ἀναφο-
ρικόν. τοῖς μὲν γὰρ ἀναφορικοῖς τὰ θεῖα
διακρίνονται πρόσωπα. τοῖς δ' ἀπολελυ-
μένοις συνάπτονται. ἕνωσις δὲ καὶ διά-
κρισις οὐ ταυτό. τῇ μὲν γὰρ οὐσίᾳ ἡ ἕνω-
σις ἕπεται. ταῖς δὲ ὑποστάσεσιν ἡ διά-
κρισις. ὅταν δὲ λέγωμεν τὸν υἱὸν ἐκ τοῦ

πατρὸς γεννᾶσθαι, οὐ ῥεῦσιν ὡς ἀπὸ τῶν σω-
ματικῶν ἐννοούμενοι. οὐδὲ τομήν. ἀλλ'
ὅλον ἐξ ὅλου καὶ τέλειον ἐκ τελείου. ὡ-
σαύτως. καὶ περὶ τοῦ ἁγίου πνεύματος. ὥσπερ
γὰρ ἄνωθεν μὲν ὁ θεὸς κτίζει. κάτωθεν δὲ ὁ ἄνθρωπος.
ὁ μὲν γὰρ χωρὶς μεταβολῆς καὶ ἐκ τοῦ μὴ
ὄντος. ὁ δὲ μετὰ τροπῆς καὶ ἀλλοιώσεως
καὶ ἐξ ὄντος. οὕτω καὶ ἄνωθεν μὲν ὁ θεὸς
γεννᾷ ἀπαθῶς καὶ ὡς ἐκ νοῦ λόγος. ἄλ-
λως δὲ ὁ ἄνθρωπος μετὰ πάθους καὶ οὐ χωρὶς
γυναικός. καὶ ἵνα περὶ τούτων τοῖς τοῦ
μεγάλου βασιλείου χρησώμεθα, ἀφη-
σιν ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ, οὐκ

ἐμερίσθη ἡ οὐσία ἀπὸ τοῦ πατρὸς εἰς υἱόν
οὐδὲ ῥευσθεῖσα ἐγέννησεν. οὐδὲ περιβαλοῦ-
σα ὡς τὰ φυτὰ τοὺς καρπούς. ἀλλ' ἄρρη-
τος καὶ ἀνεπινόητος λογισμοῖς ἀνθρώπων
τῆς θείας γεννήσεως ὁ τρόπος. τὰ γὰρ τῆς θεό-
τητος καὶ ὑπὲρ σαρκίνης ἐστὶ διανοίας. τοῖς φθαρ-
τοῖς καὶ προσκαίροις ἀφομοιοῦντα ἀΐδια.
καὶ οἴεσθαι ὡς τὰ σωματικὰ γεννᾷ καὶ
ὁ θεὸς ὁμοίως. δέον ἐκ τῶν ἐναντίων λαμβά-
νειν τὰς ἀφορμὰς πρὸς τὴν εὐσέβειαν. ὅτι
ἐπειδὴ τὰ θνητὰ οὕτως τὰ ἀθάνατα οὐχ οὕ-
τως. οὔτε οὖν ἀρνεῖσθαι δεῖ καὶ θείαν γέννη-
σιν. οὔτε σωματικαῖς ἐννοίαις καταρ-

ρυπτοῦ ἑαυτοῦ τὴν διάνοιαν. καὶ γὰρ ὥσπερ
ὅτι μέν ἐστιν εἷς θεὸς ἐγνώκαμεν. οὐ μὴν δὲ
τίς ἐστιν. οὕτω καὶ ὅτι μὲν τριάς ἴσμεν.
τί δὲ τριὰς οὐκ ἴσμεν. καὶ ὡς φησιν ὁ θεῖος
διονύσιος. ὅτι μέν ἐστι πηγαία θεότης ὁ
πατήρ. ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον βλα-
στοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερούσια
φῶτα πρὸς τῶν ἱερῶν λογίων παρειλήφα-
μεν. ὅπως δὲ ταῦτά ἐστιν. οὔτε εἰπεῖν. οὔ-
τε ἐννοῆσαι δυνατόν. πλὴν ὡς [illegible].
ὅτι φῶς ἀγέννητον ὁ πατήρ. φῶς γεννητὸν ὁ
υἱός. φῶς ἐκπορευτὸν τὸ πνεῦμα τὸ ἅγιον.
καὶ ἓν φῶς τὰ τρία. καὶ πατὴρ τοῦ ἀδ. καὶ

υἱὸς καὶ ἀεί· καὶ πνεῦμα ἅγιον καὶ ἀεί· οὐ γὰρ
ἐλάττη αὐτὸ τοῦ μὴ εἶναι πατὴρ ἐς τὸ
εἶναι πατήρ· οὔτε ὁ υἱὸς οὔτε τὸ πνεῦμα· ἀλλ'
ἀϊδίως καὶ ἀληθῶς καὶ ἀρρεύστως γεννᾷ
υἱὸν ὁμοούσιον ἑαυτῷ· καὶ προβάλλει πνεῦμα
ὁμοούσιον ἑαυτῷ. οὐ τὸν μὲν υἱὸν γεννῶν
πρότερον· εἶτα τὸ πνεῦμα προβάλλων. τοῦ-
το γὰρ ἀσεβές· ἀλλ' ἅμα καὶ ἡ τοῦ υἱοῦ
γέννησις καὶ ἡ τοῦ ἁγίου πνεύματος ἐκπόρευ-
σις. ἅμα γὰρ αἴτιον καὶ αἰτιατόν. γεννώ-
μενος δὲ ὁ υἱὸς οὐκ ἀπέστη τοῦ πατρός· οὐ
δὲ χωρίζεται αὐτοῦ· ἀλλ' ἐξ αὐτοῦ πρόεισι
καὶ ἐν αὐτῷ καὶ εἰς αὐτόν ἐστιν. ὡς εἴπερ-

μα ὡσαύτως καὶ τὸ ἅγιον πνα. λόγος δέ
ἐστι ζῶν καὶ ἐνυπόστατος ὁ υἱὸς τοῦ θεοῦ, καὶ
δύναμις αὐτοῦ ζῶσα καὶ οὐσιώδης καὶ τε-
λεία. καὶ τὸ πνα τὸ ἅγιον ὡσαύτως. οὐ-
σία ζῶσα καὶ τελεία καὶ ἐνυπόστατος, καὶ
δύναμις τοῦ πρς. οὐκ ἔξωθεν αὐτὸ τοῦ
ἀέρος προσλαμβανόμενον. ἀλλὰ τὴν
αἰτίαν ἔχον φυσικῶς ἐκ τοῦ θεοῦ τῶν ὅλων.
τὸ μὲν οὖν ἀπερινόητον τῆς οὐσίας τοῦ θυ
καὶ τῶν ἀγνώστων προόδων πίστει σιγᾶσθαι.
καὶ οὐδεὶς ἐρευνᾷ περὶ τούτου. ἀλλ' ἐν
τῇ ζητήσει ματαιωθήσεται, καὶ εἰς κρίμα
ἐμπεσεῖται τοῦ διαβόλου. τὸ δὲ περὶ

τοῦ θεοῦ ὡς εἴπομεν· ἀπὸ κτίσεως κόσμου
τοῖς ποιήμασιν νοούμενα καὶ καθορώμε-
να· καὶ ὅτι ἐστὶν ὁ υἱὸς ὁμοούσιος τῷ πατρὶ
καὶ τὸ ἅγιον πνεῦμα, ταῦτα δὴ τὰ παραδεδο-
μένα περὶ τούτων. πάντες θεολογοῦσιν
οἱ ἅγιοι. καὶ οἱ εὐσεβεῖς ἕπονται. οἱ δὲ
ἀμαθεῖς καὶ ἰδιῶται ἀκούοντες τίνα λέ-
γονται περὶ θεοῦ· αὐτίκα νομίζουσιν
ὅτι περὶ τῆς οὐσίας τοῦ θεοῦ, τίς ἐστιν ἐρα-
ναι· καὶ τίνι τρόπῳ ὁ υἱὸς ἐκ τοῦ πατρὸς γεν-
νᾶται· καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται.
καὶ παραγράφονται καὶ ἀποδέχουσι τοι-
οῦτον. οἱ δὲ ταῦτα ποιοῦντες. ὅσον τὸ ἐπ' αὐ-

τοῖς ἀναβλέπουσι πᾶσαν γραφὴν παλαιάν
τε καὶ νέαν, καὶ τὰς τῶν ἁγίων περὶ αὐτῶν
ἐξηγήσεις. ἀλλὰ καὶ ἀνόνητα λέγεσθαι ταῦ-
τα βουλόμενοι. ἃ διὰ πάντα. πρὸς νου-
θεσίαν καὶ ὠφέλειαν ἡμῶν ἐγράφη. οἵγε
οὐδὲ τῆς ἀληθείας παραιτουμένης ὑπὸ
τῶν τῆς ἀληθείας ἐχθρῶν συνεβούλευσαν
αὐτοῖς τότε πείθουσιν ὑπὲρ αὐτῆς ἀγωνί-
ζεσθαι. καὶ κωλύουσι τοὺς αὐτοῖς τὴν δυ-
νατὴν ἔννοιαν περὶ θεοῦ ἀπὸ τῶν θείων
γραφῶν λαμβάνειν. ἀναγκάζοντες καὶ ἐκεί-
νους διὰ τὴν αὐτῶν ἀγροικίαν, ἵνα μὴ
λέγω ἀμαθίαν, ζῆν ὥσπερ καὶ τὰ ἄλογα

ζῶα· καὶ οὕτω ζημιοῦσι μὲν τὴν τοῦ ἀνθρώπου
φύσιν τῷ πρὸς τὴν κατὰ τὸ δυνατὸν ἀναλαμβάνε-
σθαι, καὶ αὐτὸν ὑμνεῖν καὶ δοξάζειν τὸν ὠφε-
λοῦντα ἑαυτοῦ· σχεδὸν δὲ καὶ τὸν θεὸν ζημιοῦ-
σι. τὸ τιμιώτερον αὐτοῦ κτίσμα τὸν ἄνθρωπον.
παρασκευάζοντες μὴ ὑμνεῖσθαι καὶ μεγα-
λύνεσθαι παρὰ τῶν ἀνθρώπων οὗ ἕνεκα ὁ ἄνθρωπος
ἐπλάσθη· ζημιοῦσιν οὖν ἀμφοτέρους· καὶ
τὸν θεὸν καὶ τὴν ἀνθρωπίνην φύσιν ὅσον τὸ ἐπ' αὐ-
τοῖς· οὐκοῦν λογίζονται ὅτι κατ' εἰκόνα
τοῦ θεοῦ· ἐγένετο ὁ ἄνθρωπος· καὶ διὰ τοῦτο πρό-
φθάνει πρὸς αὐτὸν ἀνατρέχειν καὶ ὁμοιοῦσθαι
αὐτῷ δι' ἀκριβοῦς θεωρίας καὶ ἔργων ἀγα-

θῶν, ἀγνοοῦσι δὲ καὶ ὅτι ταύτην ὁ χ(ριστὸ)ς εἶπεν
αἰώνιον εἶναι ζωὴν ἵνα γινώσκωσι τὸν αὐ-
τοῦ π(ατέ)ρα· καὶ ὃν ἀπέστειλεν υἱὸν αὐτοῦ
τὸν κ(ύριο)ν ἡμῶν Ἰ(ησοῦ)ν χ(ριστὸ)ν· τὸ δ' ἀληθὲς οὕτως ἔ-
χει· ὅτι ὁ βουλεύεται λέγειν περὶ θεοῦ κα-
τὰ τὰ παραδεδομένα ἡμῖν ὑπὸ τῶν θείων
γραφῶν καὶ τῶν οἰκουμενικῶν συνόδων
καὶ τῶν διδασκάλων τῆς ἐκκλησίας· νοῶν
ὀρθῶς αὐτὰ δηλονότι καὶ μετὰ πολλῆς
εὐλαβείας ἐν τούτοις χωρεῖν· μηδὲν μὲν
ἀφ' ἑαυτοῦ λέγειν μὴ δ' ὥσπερ ἀπὸ κοι-
λίας ἀπαιδεύτως ἐρεύγεσθαι τὰ δοκοῦ-
ντα· ἀλλὰ τὰ ὁμολογούμενα ἡθές· καὶ

ἐφεξῆς συμπλέκων καὶ κατ᾽ αὐτῶν ἐπὶ τὸ ἀ-
ληθὲς καὶ ὁμολογούμενον κατὰ τὰς θείας
γραφάς. κατὰ τὰς κοινὰς περὶ θεοῦ τῶν χρι-
στιανῶν ἐννοίας, καὶ μηδαμῶς ἐναντιού-
μενον αὐταῖς. ὁ τοιοῦτος καὶ τῷ θεῷ καὶ
πᾶσιν ἀνθρώποις ἐπαινετός ἐστι. κατὰ σκοπὸν
τῆς ἀνθρωπίνης φύσεως πορευόμενος. καὶ συνι-
στῶν μὲν τὰ τῆς θείας γραφῆς. ὠφελῶν δὲ καὶ
ἑαυτὸν καὶ τοὺς ἔλαττον εἰδότας ἑαυτοῦ.
εἰσὶ μὲν οὖν ὁ υἱὸς καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ.
ἐστὶ δὲ καὶ ἡ κτίσις. ἀλλὰ τοῦ μὲν υἱοῦ καὶ
τοῦ πνεύματος. αἴτιος ὁ πατήρ. τῆς δὲ κτίσεως ἁπά-
σης. ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα.

ὡς θεὸς θεοῦ καὶ ὡς θεὸς δημιουργός. ἐκεῖ μὲν γὰρ
αἴτιος ὁ πατὴρ ὡς πατήρ. δηλονότι κατὰ τὰ
διακεκριμένα ὀνόματα καὶ περιβολάς.
ἐνταῦθα δὲ κατὰ τὰ ἀπολελυμένα ἐφό-
σον εἰσὶν ἐν τῇ θείᾳ. ὅθεν καὶ ὡς θεὸς θεοῦ
νοεῖται ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα
καὶ ὡς θεὸς δημιουργὸς τῆς κτίσεως. καὶ ὁ
μὲν υἱὸς καὶ τὸ πνεῦμα εἰσὶν ἐκ τοῦ θεοῦ καὶ
πατρὸς φυσικῶς καὶ οὐσιωδῶς. ἡ δὲ κτίσις
ἔστι μὲν ἐκ τοῦ θεοῦ τῆς τριάδος δημιουρ-
γικῶς δέ. καὶ γάρ φησιν ὁ ἐκ Δαμασκοῦ.
ἡ κτίσις καὶ μετὰ ταῦτα γέγονε. καὶ οὐκ
ἐκ τῆς οὐσίας τοῦ θεοῦ. ἐκ δὲ τοῦ μὴ ὄντος

ἐς τὸ εἶναι βουλήσει καὶ δυνάμει αὐτοῦ πα-
ρήχθη. ὁμοιοτρόπως δὲ κατὰ πάντα τοῦ
θεοῦ καὶ πατρὸς δημιουργοῦ τῶν ὅλων ὄντος,
καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὡς ἑνὸς δημιουργοῦ.
τὸν μὲν πατέρα προκαταρκτικὴν τῶν ὄντων
αἰτίαν λέγομεν. πάντα γὰρ διὰ τοῦ υἱοῦ καὶ
τοῦ πνεύματος. ἐς αὐτὸν ἀναφέρονται. δημιουρ-
γικὴν δὲ τὸν υἱόν. τελειωτικὴν δὲ τὸ πανά-
γιον πνεῦμα. καθὰ φησιν ὁ μέγας βασίλειος
ἐν τοῖς πρὸς ἀμφιλόχιον, ἐννόησόν μοι τὴν
προκαταρκτικὴν αἰτίαν τῶν γινομένων.
τὸν πατέρα. τὴν δημιουργικὴν τὸν υἱόν. τὴν
τελειωτικὴν τὸ πνεῦμα. ὥστε βουλήματι μὲν

τοῦ πρς. τὰ λειτουργικὰ πνατα ὑπάρχειν·
ἐνέργεια δὲ τοῦ υἱοῦ ἐστὶ τὸ εἶναι παράγε-
σθαι. παρουσία δὲ τοῦ πνς τελειοῦσθαι. δια-
τοῦτο καὶ ὁ μακάριος παῦλος ἔλεγεν. εἷς
θς ὁ πὴρ ἐξ οὗ τὰ πάντα. τὸ πρόσωπον τοῦ
πρς ἐνιστάμενος. καὶ εἷς κς ἰς χς δι' οὗ
τὰ πάντα. τὸν υἱόν. καὶ ἐν πνα ἅγιον ἐν
ᾧ τὰ πάντα καὶ ὁ διαρρήδην φησὶν ἰωάννης
πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγέ-
νετο οὐδὲ ἓν ὃ γέγονεν, δι' αὐτοῦ δὲ λέγει. οὐχ
ὡς δι' ὀργάνου ἢ δούλου ἢ τοιούτου τινός
ἀλλ' ὡς φυσικῆς καὶ ἐνυποστάτου δυνάμεως.
ὥσπερ καὶ ὁ νοῦς ἡμῶν διὰ τῆς ἑαυτοῦ νοή-

σεως ἐνεργεῖ· εἰ καὶ οὐκ ἄξιον τοῦ λόγου
τὸ ὑπόδειγμα. πάντων γὰρ ὑπερέχει θεός. καὶ
οἱ ἅγιοι δὲ πάντες τὸν αὐτὸν τρόπον φασὶ πάν-
τα ὁ πατὴρ ἐνεργεῖ δι' υἱοῦ ἐν πνεύματι ἁγίῳ. καὶ
πάλιν διὰ τοῦ υἱοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν
πρὸς τὸν θεὸν καὶ πατέρα. καὶ ὁ μέγας βασίλειος
ἐν τοῖς πρὸς ἀμφιλόχιον, ἡ ὁδὸς τῆς θεογνω-
σίας ἀπὸ τοῦ ἑνὸς πνεύματος, διὰ τοῦ ἑνὸς υἱοῦ
ἐπὶ τὸν ἕνα πατέρα. καὶ πάλιν ἔν τινι κεφα-
λαίῳ. οὗ ἡ ἐπιγραφὴ ὅτι συνδοξαζόμενον
θεῷ τὸ πνεῦμα δείκνυται, οὔτε χωρὶς υἱοῦ ποιεῖ
πατήρ. οὔτε υἱὸς χωρὶς πνεύματος. καὶ ἔτι πλα-
τύτερον περὶ τούτων φησὶν ἐν τῇ πρὸς τὸν

ἀδελφόν

ἀδελφὸν γρηγόριον ἐπιστολῆ, περὶ δια-
φορᾶς οὐσίας καὶ ὑποστάσεως λέγων οὕ-
τω. πᾶν ὅπερ ἂν εἰς ἡμᾶς ἐκ θείας δυ-
νάμεως ἀγαθὸν φθάσῃ τῆς πάντα ἐν
πᾶσι. ἐνεργούσης χάριτος ἐνέργειαν εἶ-
ναι φαμὲν καθώς φησιν ὁ ἀπόστολος. ὅ-
τι ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ
αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ κα-
θὼς βούλεται. ζητοῦντες δὲ εἰ ἐκ μόνου
τοῦ ἁγίου πνεύματος ἡ τῶν ἀγαθῶν χορηγία
τὴν ἀρχὴν λαβοῦσα οὕτω παραγίνεται
τοῖς ἀξίοις, πάλιν ὑπὸ τῆς γραφῆς ὁδη-
γούμεθα εἰς τὸ τῆς χορηγίας τῶν ἀγαθῶν

τῶν διὰ τοῦ πνεύματος ἡμῖν ἐνεργουμένων, ἀρ-
χικὸν καὶ αἴτιον τοῦ μονογενοῦς θεοῦ εἶναι
πιστεύειν. πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι
καὶ ἐν αὐτῷ συνεστάναι παρὰ τῆς ἁγίας
γραφῆς ἐδιδάχθημεν. ὅταν τοίνυν καὶ
πρὸς ἐκεῖνον ὑψωθῶμεν τὴν ἔννοιαν. πά-
λιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀνα-
γόμενοι διδασκόμεθα ὅτι δι' ἐκείνης μὲν
πάντα τῆς δυνάμεως ἐκ τοῦ μὴ ὄντος
εἰς τὸ εἶναι παράγεται. οὐ μὴν οὐδὲ ἐξ
ἐκείνης ἀνάρχως ἀλλά τίς ἐστι δύναμις ἀ-
γεννήτως καὶ ἀνάρχως ὑφεστῶσα, ἥτις ἐ-
στὶν αἰτία τῆς ἁπάντων τῶν ὄντων αἰτίας.

ἐκ γὰρ τοῦ πατρὸς ὁ υἱὸς δι' οὗ τὰ πάντα, ᾧ πάν-
τοτε τὸ πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπι-
νοεῖται. οὐ γάρ ἐστιν ἐν περινοίᾳ τοῦ υἱοῦ
γενέσθαι μὴ προκαταυγασθέντα τῷ
πνεύματι. καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα φησὶν
ἐν τῇ αὐτῇ ἐπιστολῇ. οἱ γὰρ ἅγιοι διὰ πάν-
των βούλονται τὸ ἀχώριστον τῆς οὐσίας
δηλοῦν, καὶ τὴν μίαν δύναμιν μετὰ τῆς
τῶν προσώπων τάξεως τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος. καὶ ἔτι τὸ πνεῦμα τὸ ἅ-
γιον ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ δὲ ἐκπορεύε-
σθαι λέγουσιν, οἱ ἀπὸ τῆς πρώτης μέ-
χρι τῆς ζ΄ συνόδου διαλάμψαντες. ὁ μὲν

φησὶ μέγας ἀθανάσιος λέγει. τὸ δὲ ἀδιαίρετον ἐν τῇ τῆς τριάδος δόξῃ δοξάζεσθαι τὸ πνεῦμα τὸ ἅγιον· μὴ προσδοκῶς οὖν ἐκ θεοῦ δι' υἱοῦ ἀλλ' ἀποιητικῶς ὥσπερ ἡ κτίσις ὡς λέγουσιν οἱ αἱρετικοὶ δηλονότι. καὶ ὁ μέγας βασίλειος· πῶς ἂν οὖν χωρίζοιτο τὰ ἀχώριστα υἱὸς ἐκ θεοῦ καὶ πνεῦμα ἐκ θεοῦ δι' υἱοῦ. ταράσιος δὲ ὁ ἁγιώτατος πατριάρχης κωνσταντινουπόλεως τῆς ζ̄ συνόδου συγκροτουμένης ἔκθεσιν τῆς ὀρθῆς πίστεως ἐπιστέλλων τοῖς κατὰ τὴν ἀνατολὴν ἐπισκόποις, πιστεύομεν φησὶ καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευό-

μένον καὶ αὐτὸ θεὸν εἶναι γνωριζόμενον καὶ
ὁ δαμασκηνὸς αὐτὸς μὲν οὕτω ἐστὶ νοῦς λό-
γου ἄβυσσος, λόγου γεννήτωρ, καὶ διὰ
λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος· καὶ
πάλιν τὸ πνεῦμα τὸ ἅγιον ἡ ἐκφαντορικὴ
τοῦ κρυφίου τῆς θεότητος δύναμις ἐκ τοῦ
πατρὸς ἐστὶ δι' υἱοῦ ἐκπορευομένη, ἀλλ' ἐπει-
δὴ καὶ κτίσις διὰ τοῦ υἱοῦ λέγεται· καὶ
τὸ πνεῦμα διὰ τοῦ υἱοῦ· ἵνα τὴν διάκρισιν
ἔχῃ ὁ νύσσης διδάσκει ἐν τῷ πρώτῳ τῶν
ἀντιρρητικῶν· τὸ πνεῦμα τῷ πατρὶ κατὰ τὸ ἄκ-
τιστον συναπτόμενον, πάλιν ἐκείνου τῷ
μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχω-

αἴξεται· τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἀκτι-
στον συναφθὲν καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑ-
πάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν ἀφί-
σταται πάλιν τῷ ἰδιάζοντι ἐν τῷ μήτε μο-
νογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι· καὶ ἐν
τῷ δι᾽ αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. πάλιν
δὲ τῆς κτίσεως διὰ τοῦ μονογενοῦς ὑπο-
στάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύ-
την ἔχειν νομισθῇ τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ ἐκ
τοῦ πατρὸς διὰ τοῦ υἱοῦ πεφηνέναι, ἐν τῷ ἀ-
τρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ
πνεῦμα ἀπὸ τῆς κτίσεως. καὶ γὰρ τὸ μὲν
ἐστὶ θεὸς ἀληθὴς ἐκ θεοῦ ἀληθοῦς ἀτρέπτου τε

καὶ ἀναλλοίωτον. ἡ δὲ κλῆσις βεβαία καὶ
ἀμοιωτή. καὶ τὸ μὲν συντέτακται πατρὶ καὶ
υἱῷ. καὶ ἀχώριστόν ἐστι πατρὸς καὶ υἱοῦ. ὡς
μία οὐσία. οὐ γὰρ ἔπρεπεν ἐνδεῆ τὸν πατέρα ποτὲ
ἢ υἱοῦ πατέρα ἢ πνεῦμα υἱῷ κατὰ τὸν θεολόγον
Γρηγόριον. καὶ ὁ μέγας Βασίλειος ἐν τῇ
πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ. ὅτι τὸν πατέρα δε-
ξάμενος καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα συμπα-
ρεδέξατο τῇ δυνάμει. καὶ οὐκ ἔστιν ἐπι-
νοῆσαι τομὴν ἢ διαίρεσιν καθ᾽ οὐδένα τρό-
πον. ὡς ἢ υἱὸν χωρὶς πατρὸς νοηθῆναι, ἢ
τὸ πνεῦμα τοῦ υἱοῦ διαζευχθῆναι. ἡ δὲ κλῆ-
σις ἀπειράκις ἀπείρως ἐστὶν ὑφειμένη τῆς

οὐσίας τοῦ πατρός. καὶ γὰρ τὰ ἔξω τοῦ πατρὸς

ὁμόδουλα ἡμῶν. ὡς αὐτὸς ἐν τῷ πρώτῳ τῶν ἀντ-

ιρρητικῶν τέθεικεν καὶ τὰ μάλιστα ὑπερ-

βολαῖς ἀξιωμάτων ἄλλων ἄγαν περιειλη-

μμένα τυγχάνῃ. καὶ ὁ θεῖος ἐπιφά-

νιος κατὰ σαβελλιανῶν γράφων, τὰ μετὰ

τὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα φησὶ πάντα

καλῶς ἐκτισμένα. καὶ ἐς δούλωσιν ὑπὸ

αὐτοῦ ἀφθόνως περιεληλυθότα, καὶ

τὸ μὲν ἅγιον πνεῦμα οὐδενὸς μετέχει, οὐδὲ

ἁγιάζεται, οὐδὲ τελειοῦται. περὶ αὐτοῦ

γὰρ εἴρηται γρηγορίῳ τῷ θεολόγῳ ὡς οὖν

ἀεὶ μεταληπτὸν οὐ μεταληπτικόν. τελειοῦν

οὐ τελειούμενον. καὶ ὁ δαμασκηνός, πάν-
τα τῇ οὐσίᾳ πληρῶν, πάντα συνέχον
πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν
ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν. ἡ
δὲ κτίσις καὶ μετέχει καὶ ἁγιάζεται καὶ
τελειοῦται ὑπὸ τοῦ ἁγίου πνς. καὶ γὰρ
περὶ αὐτοῦ πάλιν ὁ θεῖος εἴρηκεν βασί-
λειος. πνα ἅγιον ἐκ θεοῦ ὑπάρχον πη-
γὴ ἀγαθότητος δύναμις ζωῆς τελεστική.
χάρις τελειοποιός. δι' οὗ υἱοθετεῖται ἄνος,
καὶ ἀθανατίζεται τὸ θνητόν, συνημμένον πρὶ
καὶ υἱῷ κατὰ πάντα. οἱ γὰρ ἅγιοι καθά-
περ εἴπομεν ὥσπερ τὸν υἱὸν ὁμοούσιον

τῷ πρὶ καὶ ἡνωμένον καὶ ἀχώριστον θεολο-
γοῦσιν. οὕτω καὶ τὸ πνα τῷ υἱῷ καὶ τῷ
πρὶ συνάπτουσι καὶ ἑνοῦσιν ὡς θν ἀλη-
θῆ καὶ τῆς αὐτῆς καὶ μιᾶς οὐσίας μετὰ
τῆς πρὸς αὐτὴν κατὰ τάξεως τοῦ πρς καὶ τοῦ
υἱοῦ. διὸ πολεμῶν ὁ μέγας ἀθανάσιος.
ὡς ἐν τῷ πρὸς σεραπίωνα γράφει, τοιαύ-
την τάξιν καὶ φύσιν ἔχοντος τοῦ πνς πρὸς
τὸν υἱόν. οἵαν ὁ υἱὸς ἔχει πρὸς τὸν πρα.
πῶς ὁ κτίσμα τοῦτο λέγων οὐ τὸ αὐτό, καὶ
περὶ τοῦ υἱοῦ ἐξ ἀνάγκης φρονήσει. καὶ
ἐν τῷ πρὸς τοὺς αὐτοὺς τόμῳ. δεῖ δὲ ἀνα-
θεματίζειν καὶ τοὺς λέγοντας κτίσμα εἶναι

τὸ πνα τὸ ἅγιον καὶ διηρημένον ἀπὸ τῆς
οὐσίας τοῦ χυ, ποτὲ δὲ ὁ μέγας βασίλειος
ὡς ἐν τοῖς πρὸς ἀμφιλόχιον. ὡς τοίνυν ἔχει
ὁ υἱὸς πρὸς τὸν πρα, οὕτως πρὸς τὸν υἱὸν
τὸ πνα κατὰ τὴν ἐν τῷ βαπτίσματι πα-
ραδεδομένην τοῦ λόγου σύνταξιν. εἰ δὲ
τὸ πνα τῷ υἱῷ συντέτακται. ὁ δὲ υἱὸς
τῷ πρί· καὶ τὸ πνα τῷ πρὶ δηλονότι, καὶ
ὅλως περὶ τοῦ πρς καὶ υἱοῦ καὶ ἁγίου
πνς τοῦ ἑνὸς καὶ ἀληθοῦς θεοῦ οἱ ἅγιοι
λέγοντες καὶ τὸ ἀχώριστον τῶν τριῶν προ-
σώπων ἐθέλοντες ὀρθῶς καὶ φρονεῖν καὶ
κηρύττειν διὰ τὴν μίαν οὐσίαν καὶ τὴν πρὸς

ἀγγέλων προσώπων τάξιν αὐτῶν διὰ
τῶν τοιούτων τῶν ῥητῶν ὑφαίνουσι θεο-
λογίαν. περὶ δὲ τοῦ ὅτι ὁ εἷς θεὸς ἡ τριάς
ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ πνεῦμα πρόσωπα εἰσὶν
ὑφεστῶτα καὶ τέλεια, καὶ ἕκαστον τούτων
ἀληθὴς ἐστι θεός, καὶ ἡ θεία γραφὴ διδάσκει.
ἥ τε παλαιὰ καὶ ἡ νέα. καὶ παρὰ θεοῦ λέ-
γομεν δι᾽ ἀποκαλύψεως ἡμῖν δεδόσθαι.
ἢ καὶ οἱ ἄλλοι κατακολουθήσαντες ἀκρι-
βῶς, τὰ περιεχθέντα ἐθεολόγησαν. ἵνα δὲ
ἡμᾶς τὸ τῆς τριάδος μυστήριον ἀπὸ τῆς
θείας γραφῆς διαρρήδην αὐταῖς λέξεσι δι-
δασκόμενόν τε καὶ κηρυττόμενον θεωρῶ-

μὲν. ὀλίγ' ἄττα περὶ τῆς γεννήσεως τοῦ
υἱοῦ καὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνς
ἐκθησόμεθα. ἐκ τῆς τοῦ θεοῦ διδασκα-
λίας καὶ τῶν ἐξ ἀποκαλύψεως τὴν πίστιν
δεξαμένων, ὥσπερ τινὰς χρησμοὺς αὐτὰ
συλλέγοντες. περὶ μὲν γὰρ τοῦ πρς, οὐδεὶς
ἀμφέβαλε τῶν αἱρετικῶν μὴ εἶναι ἀλη-
θῆ θν προαιώνιον. οὔτε μὲν οἱ ἄπιστοι
εἰ καὶ μὴ προλέγουσι τὸν πρα υἱοῦ. μὴ
δὲ προβολέα πνς ἁγίου, ἐπεὶ δὲ οἱ μὲν,
οὐδ' ὅλως οὔτε υἱὸν οὔτε πνα ὁμολογοῦ-
σιν ὥσπερ οἱ ἰουδαῖοι. οἱ δὲ ὁμολογοῦσιν
αὐτοῦ κατὰ τὰς θείας γραφὰς ἐναντιοῦν-

ται δὲ μᾶλλον αὐταῖς, λέγω μὲν ἤδη. λέγε-
ται τοίνυν ἐν τοῖς ψαλμοῖς τοῦ θείου δαδ,
ἐγὼ σήμερον γεγέννηκά σε. καὶ αὐτὸς ἐπι-
καλέσεταί με πατήρ μου εἶ σύ. ἅπερ οἱ ἰου-
δαῖοι βουλόμενοι διαστρέφειν, λέγουσιν
ὡς ἀπὸ τοῦ θεοῦ πρὸς τὸν δαδ ἀναφέ-
ρονται. ἀλλ' ἐφεξῆς ἐλέγχονται. λέγει γὰρ
δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. καὶ
τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, δῆ-
λον δὲ ὅτι ἡ ἐκείνου βασιλεία μικρῷ μέ-
ρει περιελαμβάνετο. εἰ δὲ καὶ τῷ σολο-
μῶντι φασὶν ἁρμόζει. τὸ αὐτὸς ἐπικαλέ-
σεταί με πατήρ μου εἶ σύ, ἀλλὰ προσκεῖται,

Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ. ταῦτα δὲ τῷ σολομῶντι οὐκ ἐπεπρέποντο· ὅθεν ἐστὶ νοεῖν· ὡς ὅτι τινὰ τῶν προειρημένων ῥημάτων τῷ δᾱδ καὶ τῷ σολομῶντι ἁρμόζειν δύναται. τινὰ δὲ οὐδαμῶς εἰς μὲν τὸν δᾱδ καὶ τὸν σολομῶντα ταῦτα λέγεσθαι κατὰ τὸ ἦθος τῆς γραφῆς· ἀλλ᾽ εἰς ἑτέρου τύπον ἐν ᾧ πάντα πεπλήρωται, πάλιν ὁ σολομῶν ἐν παροιμίαις. τί τὸ ὄνομα αὐτοῦ· καὶ τί τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ ἐν δὲ τῷ εὐαγγελίῳ, οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τίς ἐπιγινώσκει εἰ μὴ ὁ υἱός. καὶ

πάλιν ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ υἱοῦ τοῦ

θεοῦ. καὶ ὁ ἀπόστολος παῦλος, πολυμε-

ρῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλή-

σας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ'

ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν

ἡμῖν ἐν υἱῷ. ἐπειδὴ δὲ ἡ γραφὴ τὸ τῆς πατρό-

τητος καὶ γεννήσεως. καὶ τὸ πατρὸς ὄνομα καὶ

υἱοῦ πολλάκις ἐπὶ τῶν πραγμάτων λέ-

γει ὥς φησιν ὁ ἰὼβ, τίς ἐστι τοῦ ὑετοῦ πατήρ,

ἢ τίς ἐγέννησε τὰς σταγόνας τῆς δρόσου. ἐκ

τίνος δὲ γαστρὸς πάγος ἐξεπορεύθη καὶ

κρύσταλλον ἐπὶ τοῦ οὐρανοῦ τίς ἐγέννησε; διὰ

ταῦτα διαστέλλουσα αὐτὸν ἀπὸ τῶν πραγ-

μάτων, τὸν υἱὸν γεννητὸν ὀνομάζουσα, φη-
σὶ τοῦτον εἶναι καὶ θεόν· ἵνα οὗτος ὑπερο-
χὴν ἔχων φαίνηται πρὸς τὰ κτίσματα καὶ
θεόν φησιν, ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος, ὅτι δὲ
λόγον τὸν υἱὸν λέγει μετ' ὀλίγον προστίθη-
σι. Καὶ ὁ λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνω-
σεν ἐν ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δόξαν
αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός.
καὶ ὁ προφήτης ἡσαΐας φησί· παιδίον
ἐγεννήθη ἡμῖν· υἱός, καὶ ἐδόθη ἡμῖν οὗ
ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.
καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βου-

λῆς ἄγγελος θεὸς ἰσχυρὸς ἐξουσιαστής. ἄρ-
χων εἰρήνης. πατὴρ τοῦ μέλλοντος αἰῶνος.
εἰ δὲ καὶ περὶ ἄλλων φησὶν ἡ γραφή· υἱοὺς
ἐγέννησα καὶ ὕψωσα αὐτοὶ δέ με ἠθέτη-
σαν, ἢ ὡς τὸ ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ
ὑψίστου πάντες, ἀλλ᾽ οὐδένα τῶν ἄλλων λέ-
γει εἶναι μονογενῆ υἱὸν τοῦ θεοῦ. οὐδὲ ἐρρέ-
θη περί τινος ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν
τὸ πλήρωμα τῆς θεότητος· ὅπερ περὶ τούτου
φησὶν ἡ γραφή. ἔτι δὲ φησὶ καὶ αὐτὸς ὁ
υἱός· πάντα τὰ ἐμὰ σά· καὶ τὰ σὰ ἐμά· καὶ
πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι. καὶ αὕτη
ἐστὶν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσί σε τὸν

μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν
Χριστόν. λέγει δὲ καὶ ὁ ἀπόστολος· ὃς ἐν μορφῇ
θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶ-
ναι ἴσα θεῷ. ἀγαμμῶ τὸ ἐρῆται τῆς θείας γρα-
φῆς τῷ πατρὶ καὶ υἱῷ τέλειον τῇ ἐξουσίᾳ συνα-
ειθμοῦσι τὸ πνεῦμα. φησὶ γὰρ ὁ Χριστός· πορευ-
θέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσα-
τε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς
τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου
πνεύματος. καὶ ὁ διαρρηκτὴς Ἰωάννης, τρεῖς εἰσὶν
οἱ μαρτυροῦντες. ὁ πατήρ, ὁ λόγος καὶ τὸ
πνεῦμα τὸ ἅγιον. καὶ πάλιν ὅταν δὲ ἔλθῃ ὁ
παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν τὸ πνεῦμα

τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύε-
ται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. ὅτι δέ
ἐστι θεὸς ἀληθής. δῆλον ὅτι ἡ μὲν προσκύ-
νησις καὶ ἡ λατρεία μόνῳ τῷ θεῷ ὀφείλεται.
φησὶ γὰρ ἡ παλαιὰ γραφή. κύριον τὸν θεόν σου
φοβηθήσῃ. καὶ αὐτῷ μόνῳ λατρεύσεις. λα-
τρεύουσι δὲ οἱ ἅγιοι τῷ ἁγίῳ πνεύματι. φησὶ γὰρ
ὁ ἀπόστολος. ἡμεῖς ἐσμὲν ἡ περιτομή. οἱ
πνεύματι θεοῦ λατρεύοντες, πάλιν τὸ τοὺς ἀνθρώπους ἁγιά-
ζειν, ἔργον ἴδιόν ἐστι κυρίως τοῦ θεοῦ. λέ-
γει γὰρ ὁ θεὸς ἐν τῇ παλαιᾷ. ἐγὼ δὲ ὁ ἁγιάζων
ὑμᾶς. ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἁγιάζει.
φησὶ γὰρ ὁ θεῖος παῦλος ἀλλὰ ἀπελούσα-

σθε ἀλλὰ ἡγιάσθητε. ἀλλ' ἐδικαιώθητε ἐν τῷ
ὀνόματι τοῦ κυ ἡμῶν ἰυ χυ. καὶ ἐν τῷ πνι
τοῦ θεοῦ ἡμῶν. ὡσαύτως ἔργον θυ ἴδιον
καὶ τὸ ζωοποιεῖν. λέγεται δὲ ἐν εὐαγγελίῳ
τὸ πνα ἐστὶ τὸ ζωοποιοῦν, καὶ ὁ ἀπόστο-
λος. εἰ πνι τὰ ἔργα τῆς σαρκὸς ἐνεκρώ-
σατε. ζήσεσθε, καὶ πάλιν φησὶν ὁ κς. ὥς-
περ ὁ πὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωο-
ποιεῖ. οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.
τὸ δὲ ζωοποιεῖν καὶ τῷ θεῷ πνι ἐστίν. ὅθεν
ὁ ἀπόστολος γράφει. εἰ τὸ πνα τοῦ ἐγεί-
ραντος ἰν χν ἐκ νεκρῶν κατὰ τὸ ἀντίνομ
δηλονότι κατοικεῖ ἐν ἡμῖν, ὁ ἐγείρας ἰν χν

ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ἡμῶν
σώματα· διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν
ἡμῖν. ὡσαύτως τὸ ταῖς τῶν ἁγίων διανοίαις
ἐνοικεῖν ἴδιον ἐστὶ τοῦ θεοῦ· φησὶ γὰρ ὁ ἀ-
πόστολος· ὑμεῖς ἐστὲ ναὸς θεοῦ ζῶντος ὥσ-
περ φησὶν ὁ κύριος· ὅτι ἐνοικήσω ἐν αὐτοῖς.
αὐτὸ δὲ τοῦτο τῷ ἁγίῳ πνεύματι ὁ ἀπόστολος ἀ-
πονέμει, φησὶ γὰρ οὐκ οἴδατε ὅτι ναὸς θεοῦ
ἐστέ· καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν, πά-
λιν φησὶν ὁ ἀπόστολος· τὸ δὲ πνεῦμα πάν-
τα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ. τίς γὰρ οἶ-
δε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου
τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν,

εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. τὸ δὲ καταλαμ-
βάνειν πάντα τὰ τοῦ θεοῦ, οὐδενός ἐστι κτίσ-
ματος. φησὶ γὰρ ὁ κύριος. οὐδεὶς οἶδε τὸν υἱόν,
εἰ μὴ ὁ πατήρ. οὔτε τὸν πατέρα τις ἐπιγινώ-
σκει εἰ μὴ ὁ υἱός. καὶ ἐν τῷ ἡσαΐᾳ ὡς ἐκ
προσώπου τοῦ θεοῦ λέγεται, τὸ μυστήριόν
μου ἐμοί. πάλιν ἴδιον τοῦ θεοῦ ἔργον
δείκνυται ἐν ταῖς γραφαῖς ἡ τῶν μυστηρίων
ἀποκάλυψις, λέγεται δὲ ἐν τῷ δανιήλ.
ἔστι θεὸς ἐν τῷ οὐρανῷ ἀποκαλύπτων μυστή-
ρια. τοῦτο δὲ ἔργον δείκνυται, τοῦ ἁγίου
πνεύματος. λέγει γὰρ ὁ ἀπόστολος. ἡμῖν δὲ ἀπε-
κάλυψεν ὁ θεὸς διὰ τοῦ πνεύματος τοῦ ἁγίου.

Καὶ πάλιν τὸ δὲ πνεῦμα λέγει μυστήρια· ἔτι ἐν ταῖς πράξεσι λέγεται· ἀνανία διατί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τῷ πνεύματι τῷ ἁγίῳ, καὶ μετ' ὀλίγα, οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ θεῷ· τίς οὖν ἔτι τὸ πνεῦμα τὸ ἅγιον, καὶ μακρὸν ἂν εἴη ζητοῦντα μαρτυρίας προθεῖναι περὶ τῆς θεότητος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ὅτι ἑκάτερον αὐτῶν πρόσωπον ἐστὶν ὑφεστώς, καὶ ἀληθὴς καὶ τέλειος θεός· καὶ ἐπεὶ ὡς ἐν ἄλλοις ἀναφέρονται τὸν πατέρα ἐξ αὐτοῦ τὸ εἶναι ἀχρόνως ἔχοντα, ἐκ δὲ τοῦ ὄντος ὂν ἐστι, καὶ ὑφεστώς, δῆλον ὡς καὶ τὸ τοῦ πατρὸς πρόσω-

πον· λόγος

σώπου. οὐ ἔστι καὶ ὑφεστώς. καὶ τέλειον.
ὁ πατὴρ παρὰ πάντων ὁμολογεῖται. καὶ ὁ υἱὸς ἐστὶ
θεὸς ἀληθὴς καὶ τέλειος καὶ λογικὸς καὶ
ζῶν. τοῦτο δὲ ἐστιν ἐξ αὐτοῦ ἐν δὲ τῷ θεῷ συμ-
βεβηκὸς οὐκ ἔστι, δῆλον ὡς καὶ ταῦτα ὁ
υἱὸς καὶ τὸ πνεῦμα ἐνυπόστατά ἐστιν. ἑκά-
τερον γὰρ δι' ἑτέρου δείκνυται. καὶ οὕτως ἐ-
στὶν ὁ θεὸς τρία πρόσωπα καὶ μία οὐσία
καὶ ἓν πρᾶγμα, ὡς αἱ περὶ τούτου διδα-
σκαλίαι τῆς θείας γραφῆς καὶ τῶν ἁγίων
διαγορεύουσι. τῶν γὰρ μαρτυριῶν ἡ παλαιὰ
καὶ ἡ νέα καὶ αἱ τῶν ἁγίων τῆς αὐτῶν ἐξη-
γήσεις πεπλήρωνται. ἀφ' ὧν οὐδὲν παν-

τως ἄλλο μανθάνειν ἐστίν, ἢ τὰ πολλάκις ῥηθέντα. ταῦτα δέ ἐστιν ὅτι ὁ θεὸς πατήρ ἐστι καὶ υἱὸς καὶ ἅγιον πνεῦμα. καὶ ὅτι ἐν οὐδενὶ διαφέρουσιν· εἰ μὴ καθότι τὸ μὲν ἐστὶ πατὴρ τὸ δὲ υἱός. τὸ δὲ πνεῦμα. ταῦτα γὰρ οἱ ἅγιοι λέγουσιν ὑποστατικὰ ἰδιώματα τῶν θείων προσώπων. καὶ οὔτε λόγῳ μόνῳ διαφέρουσιν, ὑφεστὼς γὰρ ἐστὶν ἕκαστον αὐτῶν, οὔτε πράγματι ἀλλὰ κατὰ τὴν οὐσίαν. μία γὰρ οὐσία τῶν τριῶν. καὶ πρόσωπον εἴρηται τὸ κοινὸν μετὰ τοῦ ἰδιάζοντος, ὥστε τοῖς ἀναφορικοῖς ὀνόμασι πραγματικῶς διακρίνονται δηλονότι κατὰ τὰς ἐπιθεωρουμένας σχέσεις.

τοῖς ὑφεστῶσι προσώποις τοῖς αἰτιατοῖς καὶ
τῷ αἰτίῳ. καίτοι καὶ ἐφ' ἡμῶν τὸ διάστημα
ἤκουσας ἐπειδὰν ὁ Παῦλος πέτρον καὶ ἰωννᾶν ἀπο-
λελυμένως εἴπῃ, δι' ἑκατέρου τούτων
ἄνθρωπον ἐδήλωσε. καὶ ὅταν πέτρον ἐκ τοῦ ἰωνᾶ
εἴπῃ, πάλιν τὸν αὐτὸν ἄνθρωπον καὶ υἱὸν εἶναι
ἐξ ἀνθρώπου ἰωνᾶ. προσόντος αὐτῷ. καὶ οὐχ
ἕτερον μὲν εἴρηκεν ἀπολελυμένως, ἑκα-
τερον τούτων ἄνθρωπον λέγων, ἕτερον δὲ ὅτε τοῖς
ἀναφορικοῖς αὐτὸν ἐσήμανε. τοῦτο δὲ μό-
νον ταῖς κλήσεσι παρήλλαξεν. ὅτι τοῖς μὲν
ἀπολελυμένοις ἀνθρώπων οὐσίαν ἀόριστον ἐ-
δήλου τοῖς δ' ἀναφορικοῖς. τινὰ αὐτῶν πα-

λιν οὐσίαν πως ἔχουσιν. ὅ δὴ ὁ μὲν τὸ πῦρ τὸ
δὲ ἡ ὅς· ὥσπερ καὶ πρότερον περὶ τούτου
ἐλέγομεν ἡ δὲ διαφορῶν ἐστὶ μερισμὸς τῆς ὕλης·
καὶ διάφορον τὸ εἶναι κατ' ἐνέργειαν καὶ
τοῖς ἀποτελουμένοις τὴν ἄυλον οὐσίαν δη-
λοῦμεν καὶ τοῖς ἀναφορικοῖς αὐτὴν ταύ-
την πως ἔχουσιν. καὶ διὰ ταῦτα οὐθ' ὁ πέ-
τρος τοῦ ἰωνᾶ κατὰ τὸ αὐτὸς εἶναι διακρί-
νεται. οὔτε μόνῳ τῷ λόγῳ. φανερὸν γὰρ ὡς
αὐτός ἐστιν ὁ πέτρος τοῖς ἰδιώμασι καὶ αὐτὸς.
ὁ ἰωνᾶς πως ἐπὶ τῆς θεότητος ὅπου τὸ κατ'
ἐνέργειαν ἔνεστι. καὶ ἡ αὐτὴ καὶ μία οὐσία
τῶν τριῶν προσώπων. ἢ κατὰ τὸν λόγον

μόνον ἐστὶ διάκρισις ἢ κατὰ λόγον ὅτι παρ' αὐτοῦ
οὐσίαν. περὶ μὲν οὖν τούτων καὶ νῦν καὶ
πρότερον εἴρηται. σημαίνονται δὲ καὶ τού-
τοις τοῖς ὀνόμασι τὰ τρία πρόσωπα. ὁ
μὲν πατὴρ λέγεται ἀναίτιος ἀγέννητος ἀρχή.
αἰτία γεννήτωρ προβολεὺς μείζων. ὅπερ
ὁ δαμασκηνὸς κατὰ τὸ αἴτιον λαμβάνει.
λέγεται ὅτι ἔχει πνεῦμα. τὸ γὰρ πνεῦμα τοῦ πατρὸς
φησὶν ἡ γραφή. καὶ ὅτι ἀποστέλλει αὐτό.
διὸ καὶ χορηγὸς αὐτοῦ καλεῖται καὶ τοῦ
υἱοῦ δὲ ὑπ' αὐτοῦ ἀποστέλλεσθαι φαμέν. αὐ-
τὸς δὲ οὔτε ὑπὸ τοῦ υἱοῦ οὔτε ὑπὸ τοῦ πνς
ἀποστέλλεται. ἡ δ' ἀποστολὴ διάστασιν οὐκ

ἐκβάσει τῶν τριῶν προσώπων. ἔνθα γὰρ ὁ
υἱὸς καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα ἐστί· μᾶλλον δὲ
οὐδὲ ἔνθα λέγειν εἰκός· πανταχοῦ γὰρ ὁ
θεός· διὸ καὶ ὁ θεῖος χρυσόστομος εἴρηκε θεὸς
οὐκ ἀποστέλλεται. καθὸ θεὸς δηλονότι κα-
θὸ δὲ πρόσωπον ἀποστέλλεται. πῶς γὰρ
αὐτὸ οὐ τοῦ πέμπει, ὅπου γε αὐτὸς ὁ χριστὸς λέγει.
ὅτι τὸ πνεῦμα ἀποστέλλεται οὐ διαστάσει οὐδὲ
ἐκβάσει. διὰ δὲ τὴν ἀγνωσίαν καὶ τὸν σκοτασ-
μὸν τῶν ἡμετέρων ψυχῶν, λεγόμενον ὅτι ὁ
θεὸς ἡμῶν ἄπεστιν. ὅταν δὲ ἐν ταῖς καρδίαις
ἡμῶν ἀναλάμψῃ τὸ φῶς τῆς γνώσεως καὶ
τῆς ἀληθείας. καὶ γὰρ διὰ τοῦτο φῶς ὁ θεὸς

λέγεται, φαμὲν ὅτι ὁ θεὸς ἡμῖν ἐπεδήμησε·

φησὶ δὲ καὶ ὁ θεολόγος γρηγόριος τὴν εὐ-

δοκίαν τοῦ πατρὸς ἀποστολὴν εἶναι νόμισον.

ἐφ' οὗ ἀναφέρει τὰ ἑαυτοῦ καὶ ὡς ἀρχὴν,

τιμῶν ἄχρονον καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀν-

τίθεος. καὶ πάλιν ἐν τῷ περὶ τοῦ ἁγίου

πνεύματος λόγῳ. ὅσα δὲ καὶ ταῦθα ταπεινότε-

ρον λέγεται· τὸ δίδοσθαι τὸ ἀποστέλλεσθαι,

τὸ μερίζεσθαι· τὸ χάρισμα· τὸ δώρημα· τὸ

ἐμφύσημα· ἡ ἐπαγγελία· ἡ ὑπερέντευξις

εἴ τε τι τοιοῦτον ἐπὶ τὴν πρώτην αἰτίαν ἀνα-

νενεκτέον ἵνα τὸ ἐξ οὗ δειχθῇ καὶ μὴ τρεῖς

ἀρχαὶ μεμερισμέναι πολυθέως παραδεχ-

θῶσιν· ὁ δὲ υἱὸς λέγεται αἰτιατός· γεννητός,
γέννημα· ὁ γὰρ αὐτός φησι τούτων δὲ τὸ μέν,
γέννημα τὸ δέ, πρόβλημα, μονογενής· ἀρ-
χὴ καὶ γὰρ ὁ αὐτός, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, σο-
φία, λόγος, δύναμις τοῦ πατρός, εἰκών, ἀ-
παύγασμα, χαρακτὴρ τῆς ὑποστάσεως αὐ-
τοῦ· ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια αὐτοῦ,
θέλησις αὐτοῦ, καὶ γάρ φησιν ὁ δαμασκηνὸς
ἐν τοῖς θεολογικοῖς αὐτοῦ κεφαλαίοις· ἵνα
μὴ πολλὰ λέγω οὐκ ἔστι τῷ πατρί, λόγος σο-
φία δύναμις, θέλησις εἰ μὴ ὁ υἱός· καὶ
ὁ θεῖος κύριλλος ἐν κα΄ τῶν θησαυρῶν βού-
λησιν αὐτὸν φησι λέγων· ὁ υἱός ἐστιν ἡ ζῶσα

καὶ ἐνούσιος τοῦ πατρὸς βούλησις καὶ ἐνζῶσα·
ἔστι δέ φησιν ὁ υἱός, ὁ τοῦ πατρὸς λόγος. αὐ-
τὸς ἄρα ἐστὶν ἡ βούλησις αὐτοῦ. λέγεται
δὲ καὶ αὕτη ἡ βούλησις ἔξω τῆς οὐσίας τοῦ
θεοῦ. κατὰ ἀντινὴν ἐπιβολὴν νοουμένη
καὶ γάρ φησιν, ὁ μέγας ἀθανάσιος ἐν τῇ
πρὸς ἄρειον διαλέξει. ἡ μὲν οὐσία τοῦ θεοῦ
οὔτε ἤρξατο οὔτε παύεται. οὔτε ἄρα ἤρ-
ξατο ἡ ἐκ χωῶν οὔτε ἐπαύσατο. ἡ δὲ θέλη-
σις καὶ ἄρχεται καὶ παύεται. ὅπερ ὁ
θεῖος ἐπισημειούμενος μάξιμος. ἡ βού-
λησις φησίν. οὐ ταὐτόν ἐστι τῇ οὐσίᾳ τοῦ
θεοῦ. ἡ μὲν γὰρ βούλησις καὶ ἄρχεται καὶ

παύεται. τὸ δὲ ἀρχόμενον καὶ παυόμενον.
τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ ταυ-
τὸν εἶναι οὐ δύναται. καὶ ὁ μάρτυς ἰουστῖνος
ἐν τῷ κατὰ ἑλλήνων λόγῳ. ἡ μὲν οὐσία φη-
σὶν οὐκ ἐπιδέχεται τὸ μὴ εἶναι. ἡ δὲ βου-
λησις ἐπιδέχεται τὸ μὴ εἶναι. ἠβουλήθη
γὰρ ὁ θεὸς καὶ γέγονεν ὁ ἥλιος. οὐκ ἠβουλήθη
δὲ γενέσθαι καὶ δεύτερον ἥλιον. οὐ γὰρ ἔστι.
καὶ ὁ μέγας βασίλειος. τίνος γὰρ ἂν καὶ ὑ-
πουργίας δέοιτο ὁ θελήματι μόνῳ δημι-
ουργῶν ὁμοῦ τῇ βουλήσει συνυφισταμένης
τῆς κτίσεως. ἐν β΄ τῶν περὶ υἱοῦ φησίν. ἔ-
τι λέγεται ὁ υἱὸς τοῦ θεοῦ τοῦ πρὸς ὃ ἔσχηκε

λόγος. Καὶ οὐκ ἂν αὐτῆς ἁμάρτοι λέγων αὐ-
τὸν οὕτως ἔχειν πρὸς τὸν πατέρα ὡς ὅρος πρὸς
τὸ ὁριζόμενον, καὶ ὡς πρὸς νοῦν λόγος. ταῦ-
τα γὰρ φησὶν ὁ θεολόγος γρηγόριος ἐν τῷ
περὶ υἱοῦ δευτέρῳ. ἐξ ὧν δῆλον ὅτι οὐχ
ὥσπερ ἥλιος καὶ φῶς καὶ ἄρτος καὶ στα-
γὼν καὶ μαργαρείτης ὀνομάζεται ὁ τοῦ θεοῦ
υἱὸς ἐκ τῶν ἄλλων τινῶν εἰλημμένων τούτων
τῶν ὀνομάτων, ἃ πρὸ τοῦ γέγονε τὰ κτίσ-
ματα οὐκ ἐκαλεῖτο· ἀπὸ γὰρ τῶν ἐνερ-
γειῶν ταῦτα συνέπηξαν, τὸν ἴσον τρόπον λέ-
γεται καὶ λόγος καὶ πάλιν ὁ πατὴρ νοῦς, οὐ
οὕτω λέγονται ὡς εἰ καὶ μηδὲν τῶν λογικῶν ἦ

νοερὸν κτίσμα· ἀφοῦ ἐδείχθη φθάνει αὐτὸ τὸ ὄ-
νομα κατὰ τὴν τῶν ἄλλων ὀνομάτων ἀκο-
λουθίαν, μηδὲν μηδαμῶς περὶ ἄλλου τινὸς κεκω-
λῦσθαι νοεῖν καὶ λόγον ὑπάρχειν. εἰ γὰρ πρὸ
πάντων τῶν αἰώνων ἐκ τοῦ πατρός· καὶ ὁ τὸν
ἑωρακὼς αὐτὸν ἑώρακε τὸν πατέρα τουτέστιν
ὁ νενοηκὼς αὐτὸν νενόηκε τὸν πατέρα, οὕτω γὰρ
ὁ αὐτὸς ἐξηγήσατο θεολόγος ἐν τοῖς αὐτοῖς·
καὶ τὰ τοῦ γεννήσαντος ἴδια καὶ ἐξαίρετα
φυσικῶς ἐν αὐτῷ ἔχει κατὰ τὸν ἅγιον Κυ-
ριλλον ἐν δευτέρῳ τῶν θησαυρῶν, δῆλον ὅτι
ἀεὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον ἔχει καὶ ὅ-
ρος τοῦ πατρός ἐστι καὶ λόγος. ἐπεὶ δὲ ὁ λόγος·

παρ' ἡμῖν μὲν αὐτοπόστατός ἐστι καὶ ἀμυδρῶς
τῶν νῦν ἔοικεν. ἐκεῖ δὲ σῶμα πεπληρωμένον
τι καὶ ὑφεστώς ἐστιν ἐν τῇ θεία φύσει καὶ τῆς
αὐτῆς τῶν νῦν φύσεως, ὀνομάζεται υἱὸς πατρὸς
ὁ δὲ ἀναφέρεται καλεῖται πατήρ· καὶ γὰρ
παρ' ἡμῖν τὸ ἔκγονος οὖν καὶ φυσικῶς αὐ-
τοῦ ἔχον τῶν ἀφ' οὗ προῆλθεν υἱὸς ὀνομά-
ζεται κατὰ τὸ τῆς ἀνθρωπίνης διαλέξεως ἔθος.
καίτοι καὶ τὸ τῆς πρωτοτύπου ὄνομα ἐκεῖθεν
μᾶλλον ἡμῖν ἀφῖχθαι οὐκ ἀφ' ἡμῶν εἰ-
λῆφθαι ὁ ἀπόστολος λέγει· ἐξ οὗ γάρ φη-
σι πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὧδε
καὶ ὁ δαμασκηνὸς συντίθεται. ἔστι τινὰ

υἱοῦ φησὶν ἡ γραφὴ τὸ τοῦ πατρὸς πνεῦμα· ἐξαπ-
έστειλε γὰρ ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ λέγει.
καὶ ὅτι ἐκ τοῦ πατρὸς δι᾽ αὐτοῦ ἐκπορεύεται.
οὐ λέγεται δὲ ὅτι ὁ υἱὸς ἐκ τοῦ πατρὸς δι᾽ αὐτοῦ
τινὸς γίνεται. καὶ ὅτι δι᾽ αὐτοῦ χορηγεῖται
δίδοται, ἀποστέλλεται, διὸ καὶ δοτὴρ αὐτοῦ.
καὶ χορηγὸς καὶ ταμίας. ὡς ὁ θεολόγος γρη-
γόριος ἐν τῇ πρὸς τὸν υἱὸν εὐχῇ ὑμνήσας· καὶ
γὰρ αὐτὸς μὲν ὁ υἱός φησιν ὅταν δὲ ἔλθῃ ὁ
παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν. τὸ πνεῦμα
τῆς ἀληθείας· ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύε-
ται. οἱ δὲ ἅγιοι ἐξ ὧν ὁ δαμασκηνός· ἐν
τοῖς θεολογικοῖς γράφει· ἐνεφύσησε γὰρ καί

εἶπε τοῖς μαθηταῖς αὐτοῦ· λάβετε πνεῦμα
ἅγιον, ὥσπερ ἐκ τοῦ ἡλίου μὲν ἡ ἀκτὶς
καὶ ἡ ἔλλαμψις, αὐτὸς γὰρ ἐστὶν ἡ πηγὴ τῆς
ἀκτῖνος καὶ τῆς ἐλλάμψεως· διὰ δὲ τῆς ἀκ-
τῖνος ἡ ἔλλαμψις ἡμῖν μεταδίδοται. καὶ
αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς καὶ μετεχο-
μένη ὑφ' ἡμῶν. τὸ δὲ πνεῦμα τὸ ἅγιον, λέγε-
ται πνεῦμα θεοῦ· πνεῦμα πατρός· πνεῦμα υἱοῦ· πνεῦμα
ἀληθείας· αἰτιατόν, ἐκπορευτόν· ἐκπο-
ρευόμενον, πρόβλημα, καὶ ὡς ὁ δαμασ-
κηνὸς ἐν τοῖς δογματικοῖς αὐτοῦ πνεῦμα
χριστοῦ· νοῦς χριστοῦ· πνεῦμα κυρίου· αὐτὸ κύριος· πνεῦμα υἱο-
θεσίας, ἀληθείας· ἐλευθερίας· σοφίας καὶ

γὰρ ποιητικὸν τούτων ἁπάντων. ἔτι ἀπὸ τῶν
ἐνεργειῶν ὀνομάζεται πνεῦμα πίστεως, πνεῦμα
πραότητος. πνεῦμα φόβου θεοῦ. καὶ τὰ ἄλλα
περὶ ὧν ὁ θεῖος χρυσόστομος ἐν τῷ περὶ αὐ-
τοῦ λόγῳ διασαφεῖ. ἔτι λέγεται εἰκὼν τοῦ
υἱοῦ ὡς ὁ παῦλος, οὓς προέγνω καὶ προώ-
ρισε συμμόρφους γενέσθαι τῆς εἰκόνος τοῦ
υἱοῦ αὐτοῦ. ἔτι λέγεται ῥῆμα τοῦ υἱοῦ ὡς
ὁ αὐτὸς πάλιν φέρων τε τὰ πάντα τῷ ῥήμα-
τι τῆς δυνάμεως αὐτοῦ. δι᾽ ἑαυτοῦ κα-
θαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.
καὶ ὁ μέγας βασίλειος ἐν κεφαλαίῳ οὗ
ἡ ἐπιγραφή. δηλοῖ μὲν καὶ τὸ πνεῦμα υἱός

τοῦ υἱοῦ, φησὶ πρὸς τὸν αἱρετικὸν ἀπολο-
γούμενος, οὐ διὰ τὸ μὴ εἶναι ἐκ θεοῦ δι' υἱοῦ.
ἀλλ' ἵνα ἢ ἰδίας μὴ νομισθῇ πλῆθος ἀπ-
ειν τοὺς ἐξ αὐτῶν, ὡς καὶ ἐν αὐτοῖς ἔχειν
ὑποπλανηθεῖεν, ἀναλέξαις τὸ θεοῦ μὲν εἰκὼν
ὁ υἱός. υἱοῦ δὲ τὸ πνεῦμα καὶ τοῦ θεοῦ μὲν λό-
γος ὁ υἱός· ῥῆμα δὲ υἱοῦ τὸ πνεῦμα; διὰ τὸ
μὴ υἱὸς τοῦ υἱοῦ τὸ πνεῦμα εἴρηται. ἔτι ὁ
μέγας Ἀθανάσιος ἐν τῷ πρὸς Σεραπίωνα,
ἁγιαστικὴν καὶ φωτιστικὴν φησὶ ζωήν,
καὶ ἔτι ἐνέργειαν αὐτοῦ καὶ δωρεάν. λέ-
γει γάρ· ὥσπερ γέννημα μονογενές ὁ υἱός
ἐστιν, οὕτω καὶ τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ διδό-

μένον καὶ πεμπόμενον ἕν· καὶ οὐ πολλά,
οὐδὲ ἐκ πολλῶν ἕν· αὐτὸ τὸ πνεῦμα. ἑνὸς
γὰρ ὄντος τοῦ υἱοῦ τοῦ ζῶντος λόγου μίαν εἶναι
δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ
φωτιστικὴν ζωήν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ
δωρεάν· ἥτις ἐκ τοῦ πατρὸς λέγεται ἐκπορεύε-
σθαι· ἐπειδὴ παρὰ τοῦ υἱοῦ τοῦ ἐκ τοῦ πατρὸς
ὁμολογουμένου· ἐκλάμπει καὶ ἀποστέλ-
λεται καὶ δίδοται, καὶ τοῦτο δὲ ἀναγκαῖον
εἰδέναι, πολλάκις καὶ ἐπὶ τῶν προσώπων
λεγόμενα ὀνόματα λαμβάνονται ἐπὶ
τοῦ ὅλου θεοῦ ἀπολελυμένως· οἷον ὁ θεὸς λέ-
γεται σοφία κοινῶς καὶ ἀπολελυμένως· ὁ

πατὴρ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. ἀλλὰ λέγεται
καὶ ὁ υἱὸς σοφία. ἄλλην δὲ ἔννοιαν ἔχομεν
ἐπὶ τούτου, καὶ ἄλλην ἐπ' ἐκείνου. ἐπ' ἐκεί-
νου μὲν γὰρ ἀπολελυμένως λέγεται καὶ ὁ-
μοίως νοεῖται ὁ πατὴρ σοφία καὶ ὁ υἱὸς σο-
φία καὶ τὸ πνεῦμα σοφία. ὡς εἷς σοφὸς καὶ
μία σοφία. ἐνταῦθα δὲ διακεκριμένως.
ἡ γὰρ γεννητὴ σοφία ὁ υἱός. οὐκ ἔστιν ἡ αὐτὴ
τῇ σοφίᾳ τῇ γεννώσῃ τῷ πατρί. οὔτε τῷ πνεύματι.
ἐπειδὴ κατὰ τὸ γεννᾶσθαι. ὡσαύτως καὶ
πατὴρ μὲν λέγεται τοῦ ἰδίου υἱοῦ. λέγεται
δὲ καὶ τῆς κτίσεως. ἀλλὰ ἄλλον τρόπον ἑκά-
τερον ὡς περὶ τούτου πρότερον εἴπομεν.

καὶ πάλιν λέγεται μὲν ὁ πατὴρ ὁμοῦ καὶ ὁ
υἱὸς καὶ τὸ πνεῦμα κοινῶς πνεῦμα· πνεῦμα γάρ φησιν
ὁ θεός. καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι·
καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. ἀλλ' ἕτερον τρό-
πον λεγόμενον πνεῦμα πατρός· ὡς γὰρ ὑφεστὼς καὶ
καθ' ἑαυτὸ ἰδικῶς τὸ ἐπινοούμενον. καὶ ὡς πρό-
βλημα πρὸς τὸν πατέρα ἀναφερόμενον ὡς προ-
βολέα. καὶ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορεύεται διὰ
τοῦτο καὶ τὰ ἐπὶ τῶν θείων προσώπων θεο-
λογούμενα προσήκοντα δεῖ λαμβάνειν τοῖς
ὑποστατικοῖς ἰδιώμασι καὶ μὴ κατὰ τοῦτο
πλανᾶσθαι :—

Τίνας ποτὲ εἰκόνας περὶ τῆς ἁγίας

παραδεδώκασιν οἱ ἅγιοι:-

Τῆς δὲ ἁγίας ζωούσης καὶ μακαρίας τρια- δ'
δος παράδειγμα καὶ εἰκόνα τινὰ οἰκείαν ἀ-
πὸ τῶν ἀνθρωπίνων οὐκ ἔστι λαβεῖν· τῆς γὰρ ὑ-
πὲρ πᾶσαν οὐσίαν καὶ πᾶσαν νόησιν
ἀσυγκρίτως ὑπεράνω κειμένης τί ἂν
εἴη παράδειγμα καὶ εἰκὼν οἰκεία ἀπὸ τῶν
ἀνθρωπίνων λαμβανομένη. ἃ δὴ πάντα ἐν
γενέσει καὶ φθορᾷ καὶ ῥύσει καὶ μεταβολῇ
διηνεκεῖ καθορῶνται. ὅμως ὥσπερ ἐκ
τῶν καθ' ἡμᾶς αὐτὸν ὀνομάζομεν, ἵνα
μὴ ἀμέτοχοι ὦμεν τῆς αὐτοῦ ἐπιγνώ-

σεως. ὅπερ δι' ἀσφαλὸν εὐδόκησεν ἀγα-
θότητα καὶ τοῦ ἐκδαμασπεύ θεότα-
τον, οὐ τί ἐστι τὴν φύσιν αὐτοῦ δεικνύν-
τες, ἀλλ' ὅτι ἐστὶ τοιοῦτος, καὶ τὸν αὐτὸν
τρόπον ἐκ τούτων καὶ τὴν ὁμοιότητα
γινώσκομεν καὶ εἰκονίζομεν αὐτόν, ἵνα εἰς ἀ-
μυδρὰν ἔννοιαν ἔλθωμεν τῆς ἑνότητος
καὶ τῆς τῶν τριῶν προσώπων ἰδιότητος,
καὶ γὰρ μετὰ τῆς ἑνότητος καὶ τὴν διά-
κρισιν ἀναγκαῖον ὁμολογεῖν· ἵνα μονά-
δα ἐν τριάδι καὶ τριάδα ἐν μονάδι πι-
στεύωμεν· βουλόμενοι τοίνυν οἱ ἅγιοι καὶ
τινα διδόναι ἡμῖν εἰκόνα, ὥστε τὴν μίαν

ἐκείνην καὶ ἄρρητον οὐσίαν θεία πρόσω-
πα ἰδιοϋπόστατα φαντάζεσθαι, ὁ μὲν
θεολόγος γρηγόριος λέγει, ὀφθαλμόν
τινα καὶ πηγὴν καὶ ποταμὸν ἐνενόησα,
καὶ πάλιν ἥλιον ἐνεθυμήθην ἀκτῖνα
καὶ φῶς. καὶ πάλιν φησίν, ὥσπερ γὰρ αἱ τοῦ
φωτὸς ἀκτῖνες ἀμέριστον ἔχουσι κατὰ
φύσιν τὴν πρὸς ἀλλήλας σχέσιν, οὔτε τοῦ
φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀπο-
τέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν
τοῦ φωτὸς ἀποστέλλουσιν, τὸν αὐτὸν τρό-
πον καὶ ὁ σπρ ὁ ἡμέτερος καὶ τὸ πνα
τὸ ἅγιον ἡ [illegible] σύνμος τοῦ πρὸς ἀκτῖνας, καὶ

μέχρις ἡμῶν διϊκνεῖται τῆς ἀληθείας
τὸ φῶς καὶ τῷ πατρὶ συνήνωται. καὶ πάλιν
ὡς γὰρ οὐκ ἔστι μεταξὺ νοῦ καὶ ἐνθυμήσεως
καὶ ψυχῆς διαίρεσιν ἐπινοηθῆναί τινα καὶ
τομήν· οὕτως οὐδὲ τοῦ ἁγίου πνεύματος καὶ τοῦ
σωτῆρος καὶ τοῦ πατρὸς, ἐν μέσῳ τομὴν ἢ
διαίρεσιν ἐπινοηθῆναι ποτέ· καὶ πάλιν ἀ-
μέριστος ἐν μεμερισμένοις, ἵν' οὕτως εἴπω
ἡ θεότης, καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομέ-
νοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις, καὶ
ὁ νύσσης ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος κατὰ μα-
κεδονιανῶν φησίν· ἐφ' ὧν ἡ κατὰ τὸ ἀγαθὸν
ἐνέργεια οὐδεμίαν ἐλάττωσιν ἢ παραλλα-

γὴν ἔχει

γὴν ἔχει. πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν
ἀριθμὸν τάξιν ἐλαττώσεως τινὸς τῆς κατὰ
φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον
εἶναι, ὥσπερ ἂν ἐπὶ τῆς ἐν τοῖς λαμπάσι
διῃρημένην βλέπων τὴν φλόγα ἐκ τῆς ἀνα-
δόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάπτου-
σαν. ἔπειτα καθάπερ πλεονάζειν ἐν
τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τὴν δὲ
ἐφεξῆς ἀποβεβηκέναι καὶ πρὸς τὸ ἔλατ-
τον ἔχειν τὴν παραλλαγήν, τὴν δὲ τρίτην
μηδὲ πῦρ ἔτι λέγεσθαι. καὶ παραπλη-
σίως καίει καὶ φαίνει καὶ πάντα τὰ τοῦ
πυρὸς ἐργάζεται. αὗται δὲ τῶν αἰτιῶν.

πηγὴν καὶ ποταμὸν καὶ λίμνην εἰρήκασι.
καὶ πῦρ καὶ φλόγα καὶ φῶς. καὶ ὁ θεὸς
κύκλος εἶξαν καὶ κλάδον καὶ πετρὸν
ἤλαβε. καὶ ἐν τῇ βίβλῳ πάλιν τῶν θηβαί-
ρων οὕτω λέγει. φησί που χριστὸς ἰουδαίοις
διαλεγόμενος. εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκ-
βάλλω τὰ δαιμόνια ἄρα ἔφθασεν ἐφ' ὑμᾶς
ἡ βασιλεία τοῦ θεοῦ. δάκτυλον ἐνθάδε
φησί. τὸ πνεῦμα τὸ ἅγιον. τρόπον τινὰ τῆς θεοῦ
οὐσίας ἐκπεφυκός. καὶ φυσικῶς αὐ-
τῆς ἐκκρεμάμενον ὥσπερ καὶ ὁ δάκτυλος
ἐκ τῆς ἀνθρωπίνης χειρὸς βραχίονα μὲν γὰρ καὶ
δεξιὰν τοῦ θεοῦ τὸν υἱὸν ἀποκαλοῦσιν αἱ

διαγραφαί. καθὰ τὸ ἔσωσεν αὐτὸν ἡ δε-
ξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.
καὶ πάλιν κε ὑψηλός σου ὁ βραχίων καὶ
οὐκ ᾔδεισαν· γνόντες δὲ αἰσχυνθήσονται. ὥσ-
περ οὖν ὁ βραχίων φυσικῶς ἐνήρμοσται
τῷ ὅλῳ σώματι, πάντα ἐνεργῶν ὅσαπερ
αὐτὸ δόξῃ τῇ διανοίᾳ, καταχρεῖται δὲ συνήθως
τῷ δακτύλῳ πρὸς τοῦτο κεχρημένος, οὕτω
τὸν μὲν τοῦ θεοῦ λόγον ἐξ αὐτοῦ καὶ ἐν αὐ-
τῷ φυσικῶς ἡρμοσμένον ἵν' οὕτως εἴπω, καὶ
ἐμπεφυκότα λογιζόμεθα. ἐν δὲ τῷ υἱῷ
φυσικῶς τε καὶ οὐσιωδῶς δήπουθεν
πρὸς τὸ πνεῦμα, δι' οὗ τὰ πάντα χειρῶν ἁγιάζει.

οὐ κτιστὸν οὐκ ἀλλότριον οὐδὲ ἀπεξενωμέ-
νον τῆς θείας οὐσίας φαίνεται τὸ πνεῦμα τὸ ἅ-
γιον ἀλλ' ἐν αὐτῇ καὶ ἐξ αὐτῆς φυσικῶς.
ὥσπερ οὖν καὶ ὅλου σώματος δάκτυλος
ἐν τῇ χειρὶ ὁμοφυὴς ὢν αὐτῇ καὶ ἡ χεὶρ αὖ
πάλιν ἐν τῷ σώματι. οὐχ ἑτεροούσιος
πρὸς αὐτὸ τυγχάνουσα. ἀλλ' ἀχοῦ δὲ ὁ αὐτὸς
τοῦ μὲν πατρὸς ἔρνον. ἄνθος δὲ τοῦ υἱοῦ καὶ
τὸ πνεῦμα τὸ ἅγιον. ὀσμὴν ἀπεκάλεσεν, πά-
λιν οἱ ἅγιοι τοῦ ἡμετέρου νοῦ καὶ λόγου καὶ
πνεῦμα λαμβάνουσιν εἰς εἰκόνα. καὶ δοκεῖ τοῦ-
το τῶν ἄλλων οἰκειότερον. καθότι ἀπὸ τοῦ
λόγου αὐτοῦ λαμβάνονται, ὡς τῶν ἄλλων

111

κλισμάτων ἡμιεώτερος ἐστὶ καθὸ ἐν κατ'

εἰκόνα θεοῦ ἐκλήθη. πολὺ δὲ καὶ τοῦ τῆς

ἀληθείας ἄπεστι. καὶ γὰρ ὁ μὲν ἡμέτε-

ρος λόγος ἐκ μαθήσεως περιγίνεται καὶ

διὰ φωνῆς προφέρεται. καὶ τῷ ἀέρι ἐπι-

χεῖται. καὶ εἰς ἀέρα σκεδάννυται. καὶ ἀνυ-

πόστατός ἐστι. καὶ οὔτε ζῶν ἐστιν. οὔτε ὁ αὐ-

τός ἐστι τῇ τοῦ νοῦ οὐσίᾳ. ἀμυδρὰν δέ τινα

κοινωνίαν ἔχει. πρὸς τὸν νοῦν. καθότι τὸ

νοηθὲν αὐτῷ ἐξαγγέλλει. καὶ εἰς τοὐμφανὲς

ἄγει. καὶ σημαίνει τὸν ἔνδον λόγον ὁποῖός

τίς ἐστιν ὁ δὲ τοῦ θεοῦ λόγος ἐνυπόστατός ἐ-

στι καὶ ζῶν ἐστιν. οὐ γὰρ ἦν ποτε θεὸς λόγον οὐκ

ἔχων. καὶ ἐνεργὸς καὶ παντοδύναμος

καὶ τέλειος, ὁ αὐτὸς ὢν κατὰ πάντα τῷ

ἐξ οὗ ἐστι, ζωὴ αἴδιος καὶ ὁμοούσιος. καὶ

ἀχώριστος καὶ ἀνεκφοίτητος αὐτοῦ. οὐ

κατά τι μὲν ἐοικὼς κατά τι δὲ ἀπεοικώς.

ὡς οὗτος καὶ τὸ πνεῦμα. τὸ μὲν ἡμέτερον

ἐστὶ πνοὴ ἀνυπόστατος. ἔξωθεν ἀπὸ τοῦ

ἀέρος ἑλκομένη. καὶ παντελῶς ἀγῆς οὐ

οὐσίας παρὰ ἄλλων τοῦ ἡμετέρου νοός. τὸ δὲ

τοῦ θεοῦ ἅγιον πνεῦμα ὑφεστὼς καὶ ἐνυπό-

στατον καὶ ζῶν. καὶ τέλειον. ὥσπερ καὶ ὁ

υἱὸς ἐνεργὸν αὐτοκίνητον δημιουργόν.

ἰσόδρομον ἔχον τῇ θελήσει τὴν δύναμιν,

εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ τοῦ μονογενοῦς ἅπαντα. οὕτω δὴ καὶ τὰ τοῦ πνεύματος ἀναπέμπεται. κατὰ τὸν θεολόγον γρηγόριον μία. γὰρ οὐσία καὶ μία δύναμις πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος. μήτε ἀρξάμενον μήτε παυσάμενον. ἐκ τοῦ θεοῦ τῶν ὅλων τὴν αἰτίαν ἔχον. ἀνεκφοίτητον πατρὸς καὶ υἱοῦ. οὐ γὰρ ἐνέλιπε τῷ πατρὶ λόγος, οὔτε τῷ λόγῳ πνεῦμα κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν, περὶ ὧν ὁ θεῖος δαβὶδ ψάλλων ὁ λόγος σου κύριε εἰς τὸν αἰῶνα μένει. καὶ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύνα-

μις αὐτῶν. καὶ ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται. καὶ ὁ Ἰώβ. πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. οὐδὲν οὖν οἶμαι τὸν τῷ λόγῳ καὶ τῷ πνεύματι ἡμῶν καὶ τῷ λόγῳ καὶ τῷ πνεύματι τοῦ θεοῦ ἀμυδρὰν δ' εἶναι καὶ λεπτοτάτην ἐμφασίαν ἀπὸ τῶν τοιούτων ἐπὶ τοῦ θεοῦ τῆς τριάδος λαμβανόμενον, δῆλον αὐτόθεν ὅτι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς δείκνυνται τινά ἐν ἑκάστῳ τούτων ἴδια θεωρούμενα ἀχώριστα, καὶ οὐκ ἀποτετμημένα ἀλλήλων, ἓν ὄντα κατὰ τὴν οὐσίαν, καὶ ὡς ὅλον τὰ ὄντα. διαφοραῖς δὲ ταῖς μόναις ἀλλήλων διακρινόμε-

να. ἓν τῶν ἕκαστον οὐκ ὂν κατὰ τὴν ἰδιό-
τητα τὸ αὐτὸ τῶν λοιπῶν ἑκατέρω. ὥσπερ
ὁ τῆς πηγῆς ὀφθαλμὸς οὐκ ἔστι πηγή, οὔ-
τε ποταμός· οὔτε ἡ πηγὴ ὀφθαλμὸς ἢ
ποταμός· οὔθ᾽ ὁ ποταμὸς ὀφθαλμὸς ἢ
πηγή· καὶ πάλιν ἐπὶ τῆς πηγῆς καὶ τοῦ
ποταμοῦ καὶ τῆς λίμνης, οὔθ᾽ ἡ πηγὴ πο-
ταμός ἐστιν ἢ λίμνη, οὔθ᾽ ὁ ποταμὸς πηγὴ
ἢ λίμνη· οὔθ᾽ ἡ λίμνη πηγὴ ἢ ποταμός,
καίτοι κατὰ τὴν οὐσίαν ἓν ὄντων, ὕδωρ
γὰρ εἰσί, καὶ πάλιν ὁ νοῦς οὔτε λόγος ἐστίν,
ἢ πνεῦμα· οὔτε ὁ λόγος νοῦς ἢ πνεῦμα· οὔτε τὸ
πνεῦμα λόγος ἢ νοῦς, καίτοι τούτων ὡς ὅλον

τί εἶναι δοκούντων καὶ ἀχωρίστων ἀλλήλ-

ων καὶ διαφερόντων τῇ οὐσίᾳ· ὡς ἔχει καὶ τὸ

τοῦ ἡλίου καὶ τῶν ἀκτίνων καὶ τοῦ φωτός,

ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων παραδειγμά-

των. ἀλλὰ ταῦτα καθάπερ εἴπομεν οἱ

ἄλλοι λαμβάνουσιν, ἵνα καὶ ἡμᾶς· μετὰ

ἐκ τούτων εἰς ἔννοιαν ἔλθωμεν τοῦ ἰδίου

ὑπόστατα εἶναι τὰ ἐν τῇ τριάδι τρία πρό-

σωπα, ταῖς ἰδιότησιν ἀκοινώνητα καὶ ἀ-

χώριστα ἀλλήλων. καὶ ἵνα ὅταν τῆς τῶν ἀ-

πίστων ἡμῖν ἐπιλάβηται πῶς τὸν ἕνα θεὸν τρία

λέγομεν καὶ τὰ τρία ἓν ἔχωμεν, καὶ ἀπὸ

τῶν καθ᾽ ἡμᾶς τοῦ τοιούτου ἐπιστομίζωμεν τὰ

νοῶμεν ὅ,τι οὐδὲ ἐν τοῖς οὖσιν ἀπεστεροῦ-
το ἢ καὶ παντάπασιν ἀποδέουσι καὶ
λείπονται πρὸς τὸ δέξασθαι τὴν ἐπὶ θεοῦ ἕνω-
σίν τε καὶ διάκρισιν, πῶς γὰρ τὰ δοῦλα
καὶ ὑποχείρια τῷ δεσπότῃ καὶ τῷ δημι-
ουργῷ τὰ δημιουργήματα φανήσονται
ταῖς τελειότησιν ἴσα; διὰ τοῦτο οὐ πάντα
τὰ ἰδιώματα τῶν προτεθέντων ὑποδειγ-
μάτων λαμβάνομεν ἐπὶ τοῦ θεοῦ, ἀλλ᾽ ὅ-
σον μὲν ἐστὶν ἐν τούτοις οἰκειότητα πρὸς
τὸ ἀγονιζόμενον ἔχον, λαμβάνομεν, ἀπ-
αίρουμεν τὸ ἀχώριστον πατρὸς καὶ υἱοῦ. ἀπ-
αίρουσι δὲ τὸ ὁμοούσιον καὶ τὸ ζωοποιούμενον.

καὶ τὸ τῆς πρὸς ἄλληλα τάξεως τῶν θείων προ-
σώπων, καὶ τὴν μίαν δύναμιν καὶ ἐνέργειαν,
καὶ ἄλλο ἐξ ἄλλου· διαστήματα δὲ καὶ ῥεύ-
σεις καὶ συνθέσεις καὶ μεταβάσεις· καὶ τἄλ-
λα ὅσα τῆς καθ' ἡμᾶς ἐνόντα ἐστὶ τοῖς ἐν
γενέσει καὶ φθορᾷ ἀπορρίπτομεν· καθὰ
φησὶ καὶ ὁ θεολόγος γρηγόριος· ὅτι οὐδὲν
ἐστὶν ὅμοιον τὴν διάνοιαν ἵστησιν ἐπὶ τῶν ὑ-
ποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον,
πλὴν εἴ τις ἕν τι λαβὼν· ὑπὸ δὲ γνωμοσύ-
νης τὰ λοιπὰ ἐάσειεν· καὶ γὰρ καὶ τὸ πα-
ράδειγμα πανταχοῦ κατ' ἄλλο μὲν ἀνόμοιον
ἐστὶ τῷ εἰκονιζομένῳ· κατά τι δὲ ὅμοιον.

εἰ μὲν γὰρ καταπάντα ὁμοιοῦται, οὐκ ἔστι παράστημα ἐκείνου ᾧ ἄκρως ὁμοιοῦται καὶ ταυτόν ἐστι πάντη. εἰ δὲ πάλιν ἐν οὐδενὶ τὴν ὁμοιότητα ἔχει, οὐδ' οὕτω παράστημα καὶ εἰκὼν ἔσται. τὸ γὰρ παράστημα καὶ ἡ εἰκὼν. ἐπὶ τῶν καθ' ἡμᾶς ὁμοίως τινὰ. καταλλήλου εἰκονιζομένου βούλεται ἔχειν. ἐφ' ἡμῶν μὲν τοιούτως. ἐπὶ δὲ τῶν θείων προσώπων ὁ υἱὸς εἰκὼν τοῦ πατρὸς λεγόμενος καταπάντα ὁ αὐτός ἐστιν αὐτῷ. ἐξ αὐτοῦ ὢν οὐσιωδῶς καὶ ἐνυποστάτως. καὶ πόρρω παντὸς ἐμβεβακότος. ὁ δὲ ἅγιος αὐγουστῖνος οὐ ἡ δ

ζωὸς ὁδὸς καὶ διδάσκαλον ἐξοχώτατον τῆς
ἐκκλησίας περισσότερον οὐ τὸν προφορικὸν
λόγον εἰς εἰκόνα τοῦ θείου λόγου λαμβάνει.
ἀγαθοῦ ἐν τῇ ψυχῇ ἐνδιάθετον καὶ ἀκο-
λούθως τὸ πνεῦμα τὸ ἅγιον ἀγάπην καλεῖ.
ἥτις ἡ ἀγάπη ἢ ὁ ἔρως τῆς λογικῆς φύσεως
ἰδιότης ἐστί· παντὶ γὰρ νῷ. φύσει πρόσεστι
καὶ ἡ θέλησις καὶ τὸ θέλειν. ἡ γὰρ ἐπὶ τὸ οἰ-
κεῖον κατὰ φύσιν ῥοπή, πᾶσι πρόσεστι καὶ
ἐν μὲν τοῖς ἀναισθήτοις αὐτὸ τοῦτο κατὰ
φύσιν καλεῖται ῥοπή· οἷον γῆς μὲν ἐπὶ
ἄνω τὸ μέσον πυρὸς δὲ ἐπὶ τὸ ἄνω. ἐν δὲ τοῖς
ἔχουσιν αἴσθησιν, ὄρεξις τοῦ οἰκείου καὶ

κατὰ φύσιν. ἐν δὲ τοῖς νοεροῖς καὶ λογι-
κοῖς θέλησις ἢ ἀγάπη. μετὰ τὴν τοῦ λό-
γου κρίσιν ἥ στέργουσα καὶ ἀγαπῶσα τὸ
κριθὲν ἀγαθόν, ἢ τοὐναντίον φεύγουσα.
ταύτην τοίνυν τὴν ἀγάπην τὴν τῶν λογι-
κῶν ἰδιότητα φησὶν εἶναι καὶ ἐν τῷ θεῷ
νῷ. πόθεν γὰρ αὐτόθεν ἦν ἂν ἐν ἡμῖν τὸ
ἀγαθὸν καὶ ἡ τελειότης, μὴ ἐκεῖθεν ἥκον-
τα ἡμῖν ἐν ᾧ πᾶσα τελειότης ἁπλῶς ὑ-
περιδρομένη νοεῖται. κατὰ γὰρ τὸν θεῖον
Διονύσιον αἱ ἐν τοῖς αἰτιατοῖς τελειότη-
τες πολλῷ πρότερον εἰσὶν ἐν τοῖς αἰτίοις.
τῶν μὲν γὰρ ἐν ἡμῖν κακῶν ἐλαττωμάτων

λέγω καὶ ἐξ ἀτελέων οὐδεμία χώρα τῷ θεῷ,
τῶν δὲ ἐν ἡμῖν τελεσιουργήτων καὶ πάνυ αὐ-
τίκα ὁ τῆς σοφίας ὁρισμὸς γνῶσις θείων
καὶ ἀνθρωπίνων πραγμάτων ἐστίν. ἐν ἡμῖν μέν-
τοι ἀτελῶς καὶ μεταβατικῶς ἡ σοφία θεω-
ρεῖται κατὰ τὴν δύναμιν τοῦ ἡμετέρου
νοῦ. ἀπὸ γὰρ τοῦδε ἐπὶ τόδε χωρῶν μετα-
βατικῶς καὶ οὐκ ἀθρόον διὰ τῶν προτά-
σεων ἐπὶ τὸ συμπέρασμα κατὰ ταῦτα. τῷ
δὲ θεῷ. τὸ μὲν γνῶσιν εἶναι θείων καὶ ἀνθρωπίνων
πραγμάτων. τὸ παρὰ τῆς σοφίας ἀνατίθεμεν.
πολλῷ μεῖζον καὶ ὑπεροχικώτερον, καὶ τε-
λεώτερον. τὰ δὲ ἐν ἡμῖν τῇ σοφίᾳ συμβαί-

νοντα ἀπορρίπτομεν, ὥσπερ οὖν αὖθις
ὁ θεὸς οὐσία καὶ ἔστι καὶ λέγεται. λέγεται
δὲ καὶ ὁ αὐτὸς καὶ ἕκαστον τῶν καθ' αὑτὸ
ὑφεστώτων. καὶ ὅπερ μὲν τῆς οὐσίας καὶ
τοῦ καθ' αὑτὸ ἐφεστῶτος τελειότητος ἔχε-
ται. τοῦτο δέ ἐστιν ὁ ὅρος αὐτῆς. ὅ ἐστι
πρᾶγμα αὐθύπαρκτον μηδενὸς ἑτέρου
πρὸς σύστασιν δεόμενον, τοῦτο τοίνυν ἀνα-
τίθεμεν τῷ ὄντως ὄντι θεῷ. τὸ δὲ ὑπὸ χρόνον
εἶναι καὶ ἀλλοίωσιν καὶ φθοράν, ἅπερ
τῆς ἐν γενέσει καὶ φθορᾷ ὕλης καθεστᾶ-
σιν ἴδια, παντελῶς ἀπὸ τοῦ θεοῦ ἀφαι-
ροῦμεν. ὡσαύτως καὶ ἐπὶ ἀγαθότητος

ἔχει καὶ δημιουργικῆς καὶ τῶν ἄλλων. εἰ δὲ
τοῦτο λέγει τις οὐκ ὀρθῶς ἔχειν. λοιπὸν ἁρ-
μόσειεν ἂν κατὰ τὸν ἐκείνου λόγον. μήτε
οὐσίαν μήτε σοφὸν μήτε ἀγαθὸν λέγειν
εἶναι τὸν θεόν. ἵνα μὴ δόξωμεν ἀτίνους τὸν
θεὸν προσηγορίαις ἡμῶν. ὅπερ ἄτοπον,
καίτοι ἀληθὲς εἰπεῖν ὡς λέγομεν, ὅτι ὁ
θεὸς οὔτε φῶς ἐστιν οὔτε σκότος οὔτε νὺξ
οὔτε ἡμέρα. οὔτε τόδε ἢ τόδε ἀλλ᾽ οὐχ
ὡς τὸ μηδαμῇ μηδαμῶς ὄν, ἀλλ᾽ ὅτι οὐκ
ἔστι τοιοῦτον οἷον ἡμεῖς κατὰ διαφόρους
ἐπινοίας ἀπὸ διαφερόντων ὀνομάτων ὑπο-
νοοῦμεν, ἀλλ᾽ ὑπὲρ ἅπαντα τὰ ὄντα ἀσυγ-

κρίστως ὄν· καὶ αὐτὸν αὐτοῦ τινὶ τρόπον.
ἡ ἀγάπη λέγεται μὲν ἐπὶ θεοῦ· λέγεται
δὲ καὶ ἐφ' ἡμῶν καὶ ἔτι κοινὰ ἐκείνου· ἀλλ'
ἡμῶν μὲν ἄπεστι πολλάκις ἐκεῖνο οὗ ἂν
ἐρασθείημεν, πολλάκις δὲ καὶ φαῦλος
ἔρως ἐν ἡμῖν γίνεται, φαύλῳ περιαγό-
μενος λόγῳ· τῷ δὲ θεῷ οὐδὲν ἀγαθὸν ἄ-
πεστιν οὗ ἂν ἐρασθείη. διόπερ οὐδὲ ἔφε-
σις ἐπ' αὐτοῦ λέγεται. ἀλλ' ὥσπερ αὐτός
ἑαυτῷ ἐστὶ νοητὸν ὡς ὁ δαμασκηνός φη-
σὶν ὁ θεὸς νοεῖ ἑαυτὸν ἐκ τῆς μακαρίας οὐ-
σίας αὐτοῦ. τὴν δὲ νόησιν καὶ ὁ θεολόγος
γρηγόριος αἰνιττόμενος κινεῖσθαι λέγει

ἑαυτὸν τῇ ἑαυτοῦ θεωρίᾳ· καὶ ὁ θεῖος διο-
νύσιος οὕτω φησὶν· αὐτὴν θεωμένοις ἐφθεγμένην
πηγὴν ζωῆς εἰς ἑαυτὴν χεομένην· καὶ
ἐφ' ἑαυτῆς ἑστῶσαν ὁρῶντες καὶ μίαν τινὰ
φασὶ δύναμιν ἁπλῆν αὐτοκίνητον αὐτε-
νέργητον· ἑαυτὴν οὐκ ἀπολείπουσαν
αὐτάγνωσιν πασῶν ὑπερέχουσαν γνώ-
σεων, καὶ ἀεὶ δι' ἑαυτῆς ἑαυτὴν θεωμένην
ἢ καὶ ὡς τὸν θεῖον παιδαγωγὸν ἱερόθεον τὸ αὐτὸ
φάσκοντα καὶ πρεσβεύοντα· ἐξ ἑαυτῆς
δι' ἑαυτῆς καὶ ἐφ' ἑαυτῆς ἑαυτὴν ἀνακυ-
κλοῦσαν καὶ εἰς ἑαυτὴν ἀεὶ ταυτῶς ἀνε-
λιττομένην· ὥσπερ τοίνυν αὐτὸς ἑαυ-

τῷ ἐστὶ νοητόν, οὕτω καὶ αὐτὸς ἑαυτῷ
ἐστὶν διάφορον. ἐπεὶ γὰρ ὁ εὐαγγελιστὴς ἰω-
άννης τὸν τοῦ θεοῦ υἱὸν λόγον εἶπεν.
ὁ δὲ λόγος πρὸς τὸν νοῦν ἀναφέρεται, τοῦ
γὰρ ἐν σχέσει ἐστὶ καὶ πρός τι, καὶ λόγος
λέγεται καὶ ἔστι τοῦ θεοῦ, λόγον γὰρ τοῦ θεοῦ
πάντως τὸν υἱὸν ὁμοφρόνως πιστεύομεν,
καὶ ἀναγκαίως παραβάλλεται πρὸς ἐ-
κεῖνον ὡς λόγος πρὸς νοῦν, κἀκεῖνος πρὸς
τὸν υἱὸν ὡς νοῦς πρὸς λόγον. οὐ γὰρ ἀπὸ
τῶν καθ' ἡμᾶς καὶ ἐπὶ θεοῦ ἐκλήπτεται τὰ ὀ-
νόματα ταῦτα. νοῦς καὶ λόγος. ὥσπερ
μαργαρίτης καὶ ἀμνὸς καὶ ἥλιος καὶ

ἀγαθὰ τοιαῦτα. ἀληθῶς μὲν καὶ κατὰ τὴν
ἰδίαν ἑαυτῶν οὐσίαν παρ' ἡμῖν δὲ εἰκονιζό-
μενα, καὶ ἄλλα δὲ ὁμοιότητα καὶ ἠγνω-
ρισμένα καὶ θεῖα. ἀγαθὰ οὐσιωδῶς καὶ κυρίως
καὶ ὑπεροχικῶς, καὶ ὃ μηδεὶς τῶν ἐν ἀν-
θρώποις λόγος ἢ νοῦς. μᾶλλον δὲ καὶ ὃ
μηδὲν ἢ νοερὸν καὶ λογικὸν τῶν ἐν τοῖς
κτίσμασιν οὐ καθ' ὁμοιότητα ἔστι λόγον
ὀνομασθῆναι. ὅτι γὰρ λόγος τῆς νοερᾶς φύ-
σεως ἐστὶ τελειότης. ἐπεὶ τοίνυν ἀληθὴς
ἐστιν ἐκεῖ νοῦς καὶ ἀληθὴς ἐστὶ λόγος. εἰ
γὰρ ἐν ἡμῖν τελειότης ὁ λόγος. πολλῷ πρό-
τερον καὶ ὑπεροχικώτερον ἐκεῖ, οὐ μόνον

ἀληθῆ νοῦν καὶ ἀληθῆ λόγον ὁμολογού-
μενον ἐπὶ θεοῦ. ὅτι τῶν ἀναγκαιοτάτων ἐστί, καὶ
τὸ κατὰ φύσιν τοῖς νοεροῖς καὶ λογικοῖς
ἑπόμενον. τὸ δέ ἐστιν ἡ ἀγάπη καὶ ὁ ἔρως
ἀναγκαίως ἀκολουθεῖ. τούτου γὰρ ἀναι-
ρεθέντος, ἀναιρεῖται καὶ ἡ θέλησις καὶ
τὸ θέλειν. ὅτι τῆς λογικῆς ἐστι φύσεως ἴδιον,
ὥσπερ τοίνυν ὁ θεὸς αὐτὸς ἑαυτῷ ἐστι νοητόν.
νοητὸν δὲ ὢν αὐτὸς ἑαυτῷ ὅμοιον ἑαυτῷ λό-
γον προάγει, καθὰ καὶ ὁ ἡμέτερος νοῦς
πραγματικῶς ἔπεισιν. ὅταν τι νοῇ λόγον
ἀφ᾽ ἑαυτοῦ γεννᾷ τοῦ νοουμένου ἐκείνου
ἢ λίθου τυχὸν ἢ ἄλλου τινός. καὶ ὁ λόγος ἐκεῖ- ἢ λίθ

νος ἢ γοῦν ὁ ὁρισμὸς ὅμοιός ἐστιν ἐκείνω τῶν νοητῶν καὶ ἐκεῖνο τὸ εἶδος ἔχων ἄνευ τῆς ὕλης ἐπὶ τῶν ἐνύλων ἐπὶ τὸ νοούμενον ἐκεῖνο· νοητὸν δὲ ὢν αὐτὸς ἑαυτῷ αὐτὸς ἑαυτὸν νοεῖ· καὶ οὕτω τὰ ἄλλα πάντα νοεῖ. ὅτι αὐτός ἐστιν ἡ τῶν ὄντων αἰτία καὶ τοὺς λόγους αὐτῶν προαιωνίως ἀμερῶς καὶ ἀσυνθέτως προέχει καὶ συνείληφεν, οὐ γὰρ δή τοι καθέκαστον νοῶν ὅμοιον ἐκείνοις λόγον προάγει· καὶ γὰρ ἂν αὐτῷ τῆς γνώσεως αἴτια τὰ πράγματα. τοῦτο γὰρ τῆς ἡμετέρας φύσεως τῆς ὑστέρας τῶν πραγμάτων καὶ ἀτελοῦς καὶ μεριστῆς ἐστιν, οὕτω καὶ

αὐτοῖς ἐφ' αὐτῷ

αὐτὸς ἑαυτῷ ἐστιν ἐραστόν, αὐτὸς γὰρ τὸ ἔσχα-
τον ἀγαθόν, καὶ παρὰ αὐτὸν ἕτερον οὐδέν.
ἐραστὸν δὲ ὢν αὐτὸς ἑαυτῷ, αὐτὸς ἑαυτὸν
ἀγαπᾷ· καὶ οὕτω τὰ ὑπ' αὐτοῦ γεγονότα
πάντα ἀγαπᾷ· ἐν τῷ κατὰ φύσιν ἕκα-
στον ἵστασθαι καὶ τῇ πρεπούσῃ ἑαυτῶν
τελειότητι. διὰ τοῦτο καὶ ὁ μὲν υἱὸς σοφία
τοῦ θεοῦ καὶ λόγος τῶν ὄντων ἰδίως μάλι-
στα λέγεται. τὸ δὲ πνεῦμα ὅπερ ἀγάπην
αὐγουστῖνος φησὶ τελειωτικὴ δύναμις
παρὰ τῶν θεολόγων ὑμνεῖται. καὶ ὥσπερ ὁ
θεὸς λόγος διπλῆν ἔχει τὴν σχέσιν πρὸς τὸν
οὗ ἐστι λόγος· καὶ ὡς πρὸς αἰτίαν ἀφ' ἧς προ-

ἦλθεν ὡς ὁ θεολόγος φησὶ πρὸς αὐτόν. ὦ νοῦ τοῦ μεγάλου γέννημα καὶ ὅρμημα καὶ ἐκφράγισμα. καὶ ὡς πρὸς νοητὸν οἷον ὅρος πρὸς τὸ ὁριστόν. ἐστὶ γὰρ οἷον ὅρος τοῦ θεοῦ καὶ πατρὸς ὡς ὁ αὐτὸς πάλιν φησὶ περὶ αὐτοῦ θεολόγος, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος καὶ ὅτι οὕτως ἔχει πρὸς τὸν ἐξοῦ ἐπινοῶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον καὶ τοῦ γὰρ ἐν τοῖς περὶ αὐτοῦ τοῦ υἱοῦ λόγοις φησίν. διὸ ἡ ἐκφράγισμα αὐτὸν εἴρηκεν. ὃς δὴ ὅρος τοῦ πατρὸς καὶ λόγος οὔτε μείζων οὔτε ἐλάττων ἐστὶ τοῦ θυ τοῦ θεοῦ, καὶ πατρὸς ἀλλ᾽ ἴσος κατὰ πάντα. διὸ καὶ ἑκὼν ἀπαράλλακτος λέ-

γεται τοῦ πρς, καὶ χαρακτὴρ τῆς ὑποστάσεως
αὐτοῦ· καὶ σφραγὶς ἰσότυπος ἐν ἑαυτῷ
δεικνὺς τὸν πρα· ὡς ὁ θεῖος βασίλειος ἐν
ταῖς πρὸς αὐτὸν εὐχαῖς ὕμνησε, καὶ ἔτι
τοῦτ' ἔστιν ἀρετὴ τοῦ λόγου τουτέστι τοῦ ὁ-
ρισμοῦ τὸ μήτε ὑπερβαίνειν τὸ ὁριστὸν
μήτε λείπειν, οὕτω καὶ ἡ τοῦ θεοῦ ἀγά-
πη διπλοῦν ἔχει τὴν σχέσιν πρὸς τὸν οὗ ἐστὶν
ἀγάπη· καὶ ὅτι ἐξ ἐκείνου προβάλλεται.
Καὶ ὅτι τῷ ἐραστῷ ἐξισοῦται τουτέστι τῷ
θεῷ οὗτινος ἐστὶν ἡ ἀγάπη, ἑκάτερον γὰρ τῶν
αἰτιατῶν θείων προσώπων ὁ υἱὸς καὶ τὸ
πνα· ὅλον ἐξ ὅλου τοῦ θεοῦ πρόεισι τῆς πί-

στεως ὁμολόγηται, κατὰ διάφορον μέν-
τοι πρόοδον· καὶ ὥσπερ ὁ θεῖος λόγος ἐ-
στὶν ἄπειρος, ἐπεὶ τὸ νοητὸν ἄπειρον, οὕτω
καὶ ἡ θεία ἀγάπη ἄπειρος ἐξισουμένη
τῷ ἐραστῷ. καὶ γὰρ κατὰ τοσοῦτον ἐστὶν ἀ-
γαπητόν, καθόσον ἐστὶν ἀγαθόν· ὁ δὲ θεὸς
ἄπειρος ἀγαθότης· ὥστε καὶ ἣν ἀφ' αὑτοῦ
προΐεται ἀγάπην ἄπειρός ἐστιν. εἰ μή γε
ἐξισοῦσθαι τῇ θείᾳ ἀγαθότητι καὶ τελείως
αὐτὴν ἀγαπᾶν· ὥσπερ εἰ μή γε τελείως νοεῖ
ἑαυτὸν ἀναγκαῖον τὸν λόγον τῷ νοητῷ ἐξισοῦ-
σθαι· ὅπερ οὕτω καὶ ἐστίν· ἀπαράλλακτος
γὰρ εἰκὼν ὁμολογεῖται τοῦ θεοῦ· ἀγαπώμεν

ὥσπερ ὁ λόγος αὐτοῦ ζωὴ ἀΐδιός ἐστιν αὐ-
τῷ, ἀλλὰ γὰρ ἐνέργεια νοῶν ὁ θεὸς ἀεὶ γεγέννηκε
καὶ γεννᾷ τὸν ἑαυτοῦ λόγον, οὕτω καὶ τὴν
ἀφ' ἑαυτοῦ προΐεται ἀγάπην ζωὴ ἀΐδιος
αὐτῷ ἐστιν. ἀλλὰ γὰρ αὐτὸς ἑαυτῷ πρέπει καὶ
ἀεὶ τὸ ἀγαθὸν θέλει. οὐδέποτε δὲ τὸ κακόν.
καὶ ὥσπερ τῷ θεῷ ἕν ἐστι καλὸν αὐτὸς ἑαυ-
τῷ. διὸ καὶ ἀνάγκη ἕνα καὶ μόνον εἶναι
τὸν τοῦ θεοῦ λόγον ἐξ αὐτοῦ γεννώμενον, ὅθεν
καὶ μονογενὴς ὁ τοῦ θεοῦ λέγεται λόγος, οὕ-
τω καὶ ἓν ἐραστὸν αὐτὸς ἐστὶν ἑαυτῷ. τοῦ-
του δὲ οὕτως ἔχοντος. μία καὶ μόνη ἐστὶν
αὐτοῦ ἡ ἀγάπη ἀναγκαίως. δηλονότι τὸ

πνα τὸ ἅγιον. ἐπεὶ τοίνυν ὁ λόγος τοῦ θυ ἴ-
σος ἐστὶ καὶ συναΐδιος ἑαυτῷ καὶ εἷς καὶ
μόνος καὶ τέλειος. οὐ γὰρ κατὰ τὸ ἡμέτε-
ρον ὡς κατὰ τὸ ὀλίγον ἐξ ἀλλήλων συμπλεκό-
μενος μόλις συνίσταται. οὕτω καὶ τὸ πνα
τὸ ἅγιον ἴσον ἐστὶ καὶ συναΐδιον ἑαυτῷ καὶ ἓν
καὶ τέλειον καὶ μόνον. καὶ ἐπεὶ ὅ,τε λόγος καὶ
ἡ θεία ἀγάπη ἑκάτερον τῶν θείων τούτων προ-
σώπων ὅλον ἐστὶν ἐξ ὅλου. καὶ τὸ μὲν, λό-
γος οὐ ἀπαράλλακτος ἐστὶν εἰκὼν τοῦ θυ. τὸ
δὲ, θεία ἀγάπη οὐκ ἐξισοῦται τῇ θεία ἀγα-
θότητι, κατὰ διάφορον μέντοι πρόοδον, ἑ-
κάτερον δέ ἐστιν ἀληθές. εἰ γὰρ αὖ ἐν τοῖς

θεοῖς ἴσον θεῷ· μὴ καὶ αὐτὸ ἓν οὐσία καὶ
θεός· ὅθεν ἀναγκαίως καὶ ἔστι καὶ συνάγε-
ται τὰ τρία μίαν εἶναι οὐσίαν. ἀλλ' ὥστε
ἐπεὶ ἐν τῷ θεῷ συμβεβηκὸς οὐκ ἔστι, γεν-
νᾶ δὲ λόγον καὶ προΐεται ἐξ ἑαυτοῦ ἀγά-
πην, λείπεται μή ποτε τὸν θεὸν λόγον εἶναι
προφορικὸν ἢ ἐνδιάθετον, μήποτε τὸ θεῖον
πνεῦμα ἀέρα δέξεις, ἢ καὶ συμβεβηκὸς ἀνα-
πλάττειν, ἀλλ' οὐσίαν εἶναι καὶ ταῦτα καὶ
μίαν καὶ τὴν αὐτὴν τῇ τοῦ θεοῦ καὶ πατρός. ἐν
τῷ αὐτῷ γὰρ καὶ ἐν τῇ αὐτῇ μορφῇ ὅ, τι πο-
τε ἐστὶ εἶδος ἐστι καὶ μορφή. ἐπεὶ γὰρ οὐσι-
οὐσία κατὰ φύσιν προάγεται, ὅταν τὸ ἑαυ-

τῆς τέλος ἐνεργῇ κατὰ τὴν οἰκείαν φύσιν
καὶ τὸ αὐτό. ἐπείπερ ἓν ἀεὶ τὸ οἰκεῖον τέλος
ἑκάστῃ. ἀλλὰ μὴν ἡ ἐν ἡμῖν ἀγάπη καὶ
ἔρως διπλοῦς ἐστὶ διὰ τὴν τῶν ἐραστῶν δια-
φορὰν καὶ ἀκαθαρσίαν, ὅθεν καὶ φαύλη
ἐφ' ἡμῶν γίνεται ἀγάπη. ὅταν πρόοντα ἀ-
γαπῶμεν τὰ φαῦλα· καὶ ἀκάθαρτος ἔρως.
ὅτε καὶ ὁ λόγος ἡμῶν φαῦλος ἐξ ἀνάγκης
ἐστίν. ἐπειδὴ δὲ τῷ θεῷ ἓν ἐστὶν ἐραστὸν αὐτὸς ἑαυ-
τῷ, καὶ ἀγαπητὸν πάντων ὄντων ἀσυγκρί-
τως ὑπερανῳκισμένον, καὶ ἡ τοῦ θεοῦ ἀγάπη
τὴν ἁγία ἐστὶ καὶ μία. καὶ ἐπεὶ τὰ κρυφίαν
ἔχοντα τὴν ἰδίαν ἑαυτῶν τῆς κινήσεως ἀρχήν.

τῷ τοῦ πνς ὀνόματι καλούμενον, οὕτω γὰρ
καὶ τοὺς ἀνέμους πνεύματα λεγόμενα διά
τὴν ἀδηλίαν τὴν τοῦ ὅθεν πνέουσι, καὶ ἡ
θεία αὕτη ἀγάπη τοῦ θεοῦ πνεῦμα ἅγιον κα-
λεῖται. εἰ γὰρ καὶ ἡ θεία γέννησις ὁποία ἐ-
στιν ἄδηλος καὶ ἄγνωστος πάσῃ γεννητῇ φύ-
σει ἀλλ' οὖν καθότι γέννησις λέγεται σαφε-
στέρα φωνῇ γνωριμωτέρα καὶ οἷον οἰκειοτέρα
τῇ ἀνθρωπίνῃ φύσει δοκεῖ ἤπερ ἡ τοῦ ἁγίου πνς
πρόοδος, τῆς γὰρ προόδου ταύτης εἰκασίαν
τινὰ καὶ οἰκειότητα ῥᾳδίως ἐν τοῖς ἀνθρωπίνοις
εὑρεῖν οὐκ ἔστιν. ἡμεῖς δὲ ἀπὸ τῶν ἐν τοῖς αἰ-
σθητοῖς εἰς ἔννοιαν τῶν ἀΰλων ἐρχόμεθα.

θ(εὸ)ς ἄρα ἐστὶν ὁ τοῦ θ(εο)ῦ λόγος. θ(εὸ)ς δὲ ἡ θεία ἀ-
γάπη καὶ ὁ αὐτὸς θ(εὸ)ς π(ατ)ὴρ καὶ υἱ(ὸ)ς καὶ ἡ τοῦ-
του πρόοδος ἀγάπης ἐστὶ πρόοδος καὶ
ἐπεὶ ἐν τῇ λογικῇ καὶ νοερᾷ φύσει δύο μόνον
ἐπὶ τὰ ἔνδον νοοῦνται πρόοδοι. μία μὲν
ἡ τοῦ λόγου πρόοδος καθ' ἣν νοεῖ τὸ νοητόν, ἄλ-
λη δὲ ἡ τῆς ἀγάπης ἢ θελήσεως καθ' ἣν ἐφίε-
ται τοῦ νοηθέντος ἀγαθοῦ, εἰ μὴ παρείη. ἡ ἀγά-
πη τοῦ π(ατ)ρ(ὸ)ς π(ρὸς) [illegible]όν, ἀναγκαῖον δὲ καὶ τὰς δύο πα-
ρεῖναι τῷ θείῳ νῷ καθὼς δέδεικται. καὶ ἔστιν ἡ
τῆς νοήσεως πρόοδος ἡ ἐνέργεια λόγου καὶ
υἱοῦ. λείπεται δὲ καὶ ἑτέραν ἤγουν τὴν τῆς
ἀγάπης εἶναι τοῦ ἁγίου πν(εύματο)ς. καὶ τὸ πν(εῦμ)α

τὸ αἴτιον εἶναι τοῦ θαυμάζεσθαι. ἢ ὁ δὲ ἐ-
αυτὸν αἰτιατά. τοιοῦτον τοίνυν καὶ ἐπὶ τῆς
αἰτίας εἰσάγουσι τὸ τοῦ αὐγουστίνου παρά-
δειγμα καὶ τῶν κατ' αὐτὸν διδασκάλων.
καὶ ἔστι τῶν ἄλλων προσφυέστερον, καὶ οἰ-
κειότερον. τῶν γὰρ θεολόγων ἁπάντων καὶ τῷ
λόγῳ φαμένων ἀνάλογον ἔχειν πρὸς ἀλλή-
λους τὸν πατέρα καὶ τὸν υἱόν, οἱ μὲν ἄλλοι πάν-
τες σχεδὸν τοῦτον τὸν λόγον τῷ πατρὶ ἢ μὲν προ-
φορικῷ παρεικάζουσι λόγῳ. ὁ δὲ ἐπὶ τὸν ἔν-
δον λόγον τὸν ἐνδιάθετον λαμβάνει τὴν ὁμοιό-
τητα. ἐκεῖ γὰρ καὶ τὸ κατ' εἰκόνα, καὶ ὅπερ οὗ-
τος λόγος καθ' ὃν λέγεται καὶ σὺν μὲν καὶ καλοῦ-

μεθα· εἴτε μετὰ σώματος, εἴτε μὴ· εἴτε

καὶ μὴ· ὁ δὲ ἐπὶ τὰ ἔξω ῥέων οὗτος λόγος

τοῦ ἔνδον λόγου ἐστὶ σημαντικός· καὶ ὁμω-

νύμως ἐκείνῳ λέγεται· εἰ γὰρ ἀπὸ τοῦ προ-

φορικοῦ λόγου λογικοὶ καὶ κατ' εἰκόνα τοῦ

θεοῦ ἐλεγόμεθα, ἢ ἀπετο πάντως μήτε λο-

γικοὺς ἡμᾶς εἶναι μήτε κατ' εἰκόνα τοῦ

θεοῦ λέγεσθαι· ὅτε μετὰ θάνατον τὸν προφορι-

κὸν λόγον οὐδαμῶς ἔξοθεν· οὐδὲ τὸ ἐναέ-

ριον τοῦτο σπασόμεθα πνεῦμα· ὥστε ὁ ἔν-

δον λόγος τοῦ ἐκτὸς ἀσυγκρίτως τιμιώτε-

ρος· ἀπὸ δὲ τῶν τιμιωτέρων καὶ οἰκειοτέρων

ὀφείλομεν τὰ θεῖα εἰκονίζειν, καὶ τὰ μὲν πολλὰ

τῶν αὐτῶν, ἐκ τῶν μόνον. τὰ δὲ τοῦ αὐτοῦ στί-
νου καὶ πολλοῦ τῷ ὁμοιότατα ἔχει. ὥστε
καὶ τὸν ἄπιστον εἰς ἔννοιαν ἀναχθῆναι τῆς ἀ-
γίας τριάδος ἐκ τούτου τὰ ἐκ τῆς θείας γρα-
φῆς οὐδὲ ἀκούειν καταδεχόμενον. μόνον
ἢ τῷ εὐγνώμονι ζῆλον ἔχει μεθ᾽ ἑαυτοῦ. καὶ
νοῦν ἔχων μὴ φιλονεικεῖν προαιρεῖται. πολ-
λοῦ γὰρ τὴν ἀνάγκην ἐπαγγέλεται μετὰ καὶ
τοῦ τῇ θείᾳ γραφῇ συμφωνεῖν. μᾶλλον δὲ
ἐντεῦθεν ἔχει τὰς ἀποδείξεις. καὶ τὰς περὶ
τούτου τῆς θείας γραφῆς μαρτυρίας ὁ
βουλόμενος εὑρήσει σαφῶς, ἀναγνοὺς τὰ
περὶ τούτου ἐν τῷ περὶ τριάδος βιβλίῳ

τῷ μακαρίῳ αὐγουστίνῳ συγγεγραμμένα. δ'
μὴν λέξεως ἂν μὴ δυνήσαιτις ἀρνεῖσθαι
λόγον εἶναι τὸν υἱόν, οὐδὲ τὸν πατέρα παραιτή-
σεται λέγειν ἀληθῶς εἶναι νοῦν, οὐχ οἷον τὸν
παρ' ἡμῖν, ἢ τὸν ἀγγελικόν. ἀγαθὸν καὶ ἄπει-
ρον καὶ πάντων νόων ἀπείρως ἐξῃρημένον.
πρόσθημα μέντοι τοῦ αἰτίου. καὶ τοῦτον εἰ-
κόνα ἐκείνου. τούτοις δὲ ἕπεται καὶ ἀγάπην
ἀναγκαίως τεθεῖναι ἐπὶ θεοῦ. τοῦ γὰρ τῶν λοι-
ἰδιότης πῶν τελειότης δυότης ὡς εἴρηται. ἀγάπη καὶ ἡ
πρόοδος τοῦ λόγου ἐκ τοῦ νοῦ. ἐναργέστε-
ρον ἐκφαίνει τὴν πρόοδον ἐκείνην διὰ τὸ ἀπα-
θὲς καὶ ἄϋλον ἢ αὕτη ἡ σαρκικὴ γέννησις.

ὁμοίως καὶ ἡ τῆς ἀγάπης ἐκ τῆς θελήσεως
πρόοδος ἐμφανεστέρα ἐστὶν εἰκὼν τῆς ἀπὸ
τοῦ θεοῦ προόδου τοῦ ἁγίου πνς, ἢ αὕτη ἡ τοῦ
σωματικοῦ πνς πρόοδος. ὥστε ἀπὸ τῆς ψυ-
χῆς τὴν εἰκόνα λαμβάνοντες οἰκειοτέρως
προσεροῦμεν, τὸν θεὸν νοῦν καὶ λόγον καὶ ἀγά-
πην, ἢ ἀπὸ τοῦ σώματος. πρα καὶ υἱὸν καὶ
πνα αὐτὸν ὀνομάζοντες ὅμως ἐπεὶ ὁ λόγος
ἐκ θ' ὑφεστὼς ἐστὶ καὶ τέλειος καὶ ἴσος τῷ οὐ-
σίᾳ τῷ ἀφ' οὗ προῆλθεν. υἱὸς ὀνομάζεται,
κατὰ τὸ τῆς ἀνθρωπίνης διαλέξεως ἔθος. διὸ καὶ
οἱ ἀρχαῖοι τῆς εὐσεβείας διδάσκαλοι καὶ
μάλιστα ὁ μέγας ἀθανάσιος ἐν τοῖς κατὰ

ἀρχοῦ, τοὺς λέγοντας ὕστερα τοῦ πατρὸς τὸν υἱὸν

καὶ τὸ πνεῦμα. εἰς τοῦτο ἄπειρον τὸ ἄτοπον ὥς-

περ ἂν εἰ ἔλεγον ἄνουν καὶ ἀτελῆ τὸν θεόν.

τοῦτο γὰρ αὐτοῦ ἀτοπώτερον ἢ θεμιτόν ἐοι-

κε. ἢ ἄπαιδα καὶ ἄπνουν. καὶ γὰρ τοῦτο ἐκ

στέρησιν τῶν ἄλλων οὐσιῶν συγχωρηθήσεται. ὥσ-

τε δῆλον ὡς μᾶλλον ἁρμόσει νοῦν καὶ θέ-

λησιν τὸν πατέρα λέγειν ἢ πνεῦμα καὶ πνέοντα.

ἔδοξε δὲ αὐτοῖς ἀτοπώτατον ἄνουν καὶ ἀ-

θελῆ τὸν θεὸν συνάγεσθαι, ἀπὸ τοῦ τεθεῖναι

τοῦ πατρὸς ὕστερον τὸν υἱὸν καὶ τὸ πνεῦμα. ὅτι

ὁ νοῦς καὶ λόγον ἔχει ἀναγκαίως. καὶ οὐκ

ἂν εἴη νοῦς λόγον οὐκ ἔχων. καὶ ὁ θέλων τὸ-

γικὸς ὢν ἀγάπην πάντως ἔχει ἢ ἔρωτα. τὰ
γὰρ ἄλογα λόγον οὐκ ἔχοντα. οὐκ ἂν ὀρθῶς
λέγοιντο τοῦτο θέλειν εἰς ὅπερ ἂν ὁρμῶσιν.
φυσικῇ γὰρ δυνάμει πρὸς τοῦτο κινοῦνται. καὶ
πάλιν θέλων οὐκ ἂν εἴη ἀγάπην οὐκ ἔ-
χων ἐξ ἑαυτοῦ προϊοῦσαν, ἡ γὰρ ἀγάπη ἀπὸ
θελήσεως πρόεισι. ἔχει μέντοι ὁ θεὸς λόγον
καί τινα ὡς ἑαυτοῦ ἔχων. εἰ γὰρ διὰ τὸ ἔχειν
ζωὴν θεοσύνης ὑπονοεῖσθαι, ἀναλέγεται καὶ
τοῦτο ὅτι ὁ υἱὸς ἔχει πατέρα. ὡσαύτως δὲ καὶ
προβολέα τὸ πνεῦμα. οὐ μᾶλλον οὖν ἔσται
ὁ πατὴρ ἔχων ἢ ἐχόμενος κατὰ τὴν προφο-
ρὰν τοῦ ἔχειν. καίτοι καὶ τοῦτο παρὰ τῆς ἐκ—

κλησίας ὁμολογεῖται, τὴν τῶν θείων ὑποστά-
σεων εἰς ἀλλήλας περιχώρησιν. ἀλλ' οὐ παρὰ τοῦ-
σύνθεσις το σύγχυσις ἕπεται. οὐ γὰρ ὥστε συναλείφε-
σθαι Γρηγόριος ὁ θεολόγος φησίν, ἀλλ' ὥστε
ἔχεσθαι, ἢ καὶ ὡς ἔχει τὸ τοῦ Νύσσης ὃ καὶ
πρότερον ἐλέγομεν ὅτι καὶ ἄλλην καὶ ἄλ-
λην ἐπίνοιαν ἑκάτερος ἐν τῷ ἑτέρῳ εἶναι
λέγεται. ὁ μὲν υἱὸς ἐν τῷ πατρὶ ὡς τὸ ἐπὶ τῆς
εἰκόνος κάλλος ἐν τῇ ἀρχετύπῳ μορφῇ. ὁ
δὲ πατὴρ ἐν τῷ υἱῷ ὡς ἐν τῇ εἰκόνι αὐτοῦ τὸ πρω-
τότυπον κάλλος. ἡ δὲ ἐν τούτοις τὸ πνεῦμα τὸ
ἅγιον ὡς ἀγάπη πατρὸς πρὸς υἱὸν θελή-
σεως τῷ Αὐγουστίνῳ εἴρηται. ἄλλοι δὲ τὴν

ἀμφῶν βούλησιν καὶ θέλησιν τὸν υἱὸν τοῦ
πατρὸς εἶπον ἃ καὶ πρότερον ἐξεθέμεθα.
οἷον ὁ μὲν δαμασκηνὸς οὐκ ἔστι τῷ πατρὶ λό-
γος, σοφία, δύναμις, θέλησις, εἰ μὴ ὁ υἱός. ὁ
δὲ θεῖος κύριλλος ἐν τοῖς θησαυροῖς ὁ υἱός
ἐστιν ἡ ζῶσα καὶ ἐνούσιος τοῦ πατρὸς βουλη-
σις. ὁ δὲ μέγας ἀθανάσιος, ἡ μὲν οὐσία
τοῦ θεοῦ οὔτε ἤρξατο οὔτε παύεται, οὔτε
ἄρα ἤρξατο ἡ ἐξ αὐτῆς οὔτε ἐπαύσατο. ἡ δὲ
θέλησις καὶ ἄρχεται καὶ παύεται, ἃ ταῦ-
τα λέγοιεν οὐδὲ θορυβεῖσθαι. ἀμφῶν γὰρ
τοῦτον ἀποφάσεις. καὶ ἔστι λογικωτάτων
καὶ εὐσεβεῖν βουλομένων. τὰ γὰρ παρ' αὐτῶν

ἄλλων εἰρημένα πάντα ἀσπάζεσθαι. καὶ μὴ καθάπερ ὤνια τὸ μὲν ἀπορρίπτειν τὸ δὲ ἐγκρίνειν. ἀλλὰ πάντα δεχομένους καὶ φυλάττοντας ὡς τοῦ πνεύματος φωνάς, οὕτω προσῆκον ἐπιχειρεῖν ἐξηγεῖσθαι. ὥστε καὶ ταῖς τοῦ θεοῦ κοινοτάταις ἐννοίαις καὶ ταῖς τῆς πίστεως ἀρχαῖς καὶ τῷ πλήθει τῶν ἄλλων συμφωνεῖν. μόνον εἰ περὶ τῆς ἐκείνων ἀλλοιώσεως ἀμφιβολίαν οὐδεμίαν ἔχομεν. ὅπερ ἀναγκαῖον ἐκείνοις τηρεῖσθαι. καὶ μὴ διὰ τὰς ἑαυτῶν βουλήσεις οὕτω καὶ τῶν ἄλλων ἐκλαμβάνοντας ὡς ποιεῖν ἐκείνους ἀλλήλοις πολεμεῖν δοκεῖν. καὶ ὑφ' ἑαυτῶν ἀνατρέπεσθαι. οὐ γὰρ ἂν εἰκότως

νομιζοιντο ἑαυτοῖς καὶ ἀλλήλοις ἐναντιοῦσθαι.
τοῦτο γὰρ οὐδὲ τοῖς ὁπωσοῦν λογικοῖς τῶν
ἀνθρώπων ἁρμόζει· μήτοι γε δὴ τοῖς ἁγίοις
οἳ πάντα ἐξέθεντο ὑπὸ τοῦ ἁγίου κινού-
μενοι πνεύματος. ὥστε τούτοις ὡς διδασκάλοις
εὐσεβείας τοὺς ἀνθρώπους προσέχοντας καὶ δι'
αὐτῶν τῆς ἀληθείας ἐπιτυγχάνοντας, οὕ-
τω συνημμένους ἐν τῷ λόγῳ γίνεσθαι. περὶ
μὲν οὖν τῶν τοῖς ἁγίοις εἰρημένων. οὕτω
χρὴ γνώμης ἔχειν. καὶ τοιούτῳ χρῆσθαι
ἐπὶ πάντων κανόνι. εἰ δὲ μή, ἄμεινον λέ-
γειν τῶν τοιούτων λεγομένων μὴ συνιέναι διανοίας,
ἢ ἀναβεπτέντας ἀξιολόγους περὶ θεοῦ εὐ-

ποιήτης, ὡς ὁ μέγας ἔφη βασίλειος, ἐν

ταῦτα δὲ ἐστι λέγομεν ὡς τὸ αὐτὸ κατὰ δια-

φόρους ἀποβλέπτας, ἄλλως καὶ ἄλλως οἱ

ἄλλοι ἀποδιδόασιν· ὁ μὲν γὰρ υἱός ἐκ τοῦ

πατρός ἐστιν ὡς λόγος ἐκ νοῦ, κατὰ τοῦτο καὶ

θέλησιν ἐκ θελήσεως τὸν υἱόν ἐκ τοῦ πατρὸς τρό-

πον· ὡς ὁ θεολόγος γρηγόριος λέγει· τῷ πατρὶ

γέννησίς ἐστιν ἡ τοῦ γεννᾶν θέλησις, καὶ βού-

λησιν ἐκ βουλήσεως· καθ' ὃν δὴ τρόπον εἴ-

πον σοφίαν ἐκ σοφίας τὸν υἱόν, καὶ δύνα-

μιν ἐκ δυνάμεως· τὸ δὲ ἅγιον πνεῦμα ἐκ τοῦ

πατρός ἐστιν ὡς ἀπὸ θελήσεως ἡ ἀγάπη· διὰ

τοῦτο γάρ ἐστι καὶ ἡ πρόοδος διάφορος· ἡ δὲ

κτίσις ὡς ἀπὸ μιᾶς βουλήσεως τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· μία γὰρ τῶν τριῶν
ἐπὶ τῶν κτισμάτων ἡ θέλησις. τοῦτο δέ ἐστιν
ὅπερ καὶ ὁ θεῖος μάξιμος ἐν τῇ πρὸς ἀνό-
μοιον διαλέξει φησίν. ἐκείνου γὰρ εἰπόντος εἰ
ἄλλοις ὁ θεὸς γεννᾷ καὶ ἄλλοις κτίζει σύνθετος
ἐστίν. ἀποκρίνεται· οὐ λέγω ἄλλοις γεννᾷ
καὶ ἄλλοις κτίζει, ἀλλὰ ἄλλως γεννᾷ καὶ
ἄλλως κτίζει· τὸ μέντοι θεῖον πνεῦμα ὡς ἀγά-
πη πατρὸς τοῦ πρὸς υἱόν· ἰδιαίτερόν τινα λέγε-
ται τρόπον, ἀναφορικὸν γάρ ἐστιν ἡ ἀγάπη.
διὸ καὶ πρόσωπον ἐστίν· οὐ γὰρ ὥσπερ ἡ ἀ-
γαθότης ἢ ἡ παντοκρατορία, ἢ ἡ πρόνοια

ἅπερ πρὸς τῶν πλείστων τὴν ἀναφορὰν ἔχουσι καὶ
οὐκ ἔστι αὐτοῦ, ἀκολούθως ἐστὶν ἀγάπη τὸ ἐκ
πορευόμενον ἀναφορικῶς, καὶ ὥσπερ
ὁ λόγος ἐκ νοῦ ἀναφορικῶς λέγεται, τῇ
τοι τοῦ ὅλου τοῦ κοινῶς καὶ ἀπολελυμέ-
νως λόγου λεγομένου καὶ νοῦ καὶ ἀγάπη
δὲ λέγεται. ὁ θεὸς δέ φησιν ἀγάπη ἐστίν. ἀλλ'
ὅμως ἰδίως καὶ ἀναφορικῶς. τὸ μὲν ἐστὶ
τοῦ πατρὸς κέκληται τὸ νοῦς. τὸ δὲ λόγος ἐστὶ
τοῦ υἱοῦ, ἡ δὲ ἀγάπη ἐστὶ τοῦ πνεύματος. κατὰ
γὰρ καὶ νοεῖ τὸ πνεῦμα λέγονται αὐτὸ ὡς θεός. ὡς
ἔχει τὸ αὐδόμενον ἐκεῖνο, σὺ ζωὴ ἔρως φῶς
νοῦς ὠ σοφώτατος καὶ ὁ υἱός. ἀλλ' οὐ λέγεται

οὕτως ἀνα

οὕτως ἀναφορικῶς κατὰ τὰ πρός τι πώσ-
τε καὶ λόγον ἐκείνου τινὸς ἢ ἐκείνου τινὸς περι-
ϊέναι. εἰ μὴ γὰρ οὕτως ἦν, οὐδὲν ἐκώλυε
εἰς πολλὰ πρόσωπα τὸν ἕνα θεὸν περιχω-
ρεῖν. ὅπερ τῷ τῆς τριάδος λόγῳ ἐναντιοῦ-
ται. καὶ πᾶν ὃ τὸν τῆς τριάδος ἢ τὸν τῆς
μονάδος διαστέλλον λόγον ἀπορριπτέον. ὡ-
σαύτως ὁ θεὸς καὶ σοφία λέγεται ἀπολελυ-
μένως καὶ τὸ ὄνομα τοῦτο ἀνάγκη κοινὸν
εἶναι πατρὶ καὶ υἱῷ καὶ δὴ καὶ πνεύματι. ἢ γὰρ
διὰ τοῦ λόγου ἐκλάμπουσα σοφία ἥτις
αὐτός ὁ λόγος ἐστὶν ἢ τοῦ πατρὸς ἐστὶν οὐσία· ἡ
δὲ οὐσία τοῦ πατρὸς αὐτῷ καὶ τῷ υἱῷ ἐστι κοινή.

ἀλλ᾽ ὅμως ἰδιαίτερόν τινα τρόπον ἀποδίδο-
ται τῷ υἱῷ ἡ σοφία, καὶ μία οὖσα τῷ ἀριθ-
μῷ σοφία ὡς εἴρηται τοῦ πατρὸς καὶ τοῦ υἱοῦ,
ὅμως οὐκ ἔστιν ἡ γεννωμένη σοφία ἡ αὐτὴ
τῇ γεννώσῃ δηλαδὴ κατὰ τὸ γεννᾶσθαι. ταῦ-
τα δὲ καὶ πρότερον εἴρηνται. ὅτι δὲ εἴ-
πομεν τὸ τοῦ αὐγουστίνου πρόβλημα ἐκ
τῆς γραφῆς ἐχέτω τὰς ἀποδείξεις. ἀληθές ἐστι
πολλαχοῦ γὰρ αὐτοῦ πρότερον ἡ θεία γραφὴ τοῦ-
το φησὶν ἐν οἷς ὁ θεολόγος Ἰω διδάσκει.
οὗτος γὰρ εἰπὼν ὁ θεὸς ἀγάπη ἐστί, δοκεῖ μὲν
οὕτως ἁπλῶς καὶ ἀδιακρίτως τοῦ θεοῦ εἰρη-
κέναι, ὅπερ τέλειον ἀληθῶς ἂν εἶπε, σύμ-

φωνον γὰρ τοῦτο τῇ κοινῇ περὶ θεοῦ δόξῃ. αὐ-
τός γάρ ἐστι καὶ ἀγάπη καὶ σοφία καὶ πᾶν
ἀγαθόν. ὅμως βουλόμενος καθαρώτε-
ρον τὴν ἑαυτοῦ γνώμην ἐκφῆναι, οὐ τὴν ἀ-
πλῶς διορίστως εἶπεν ἀγάπην, τοῦτο καὶ
ἐκ τοῦ θεοῦ εἶναι προστίθησιν· εἰπὼν γὰρ ἀγα-
πητοὶ ἀγαπῶμεν ἀλλήλους ὅτι ἡ ἀγά-
πη ἐκ τοῦ θεοῦ ἐστιν, ἐπάγει. καὶ πᾶς ὁ ἀ-
γαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται. ἐκ τούτου
ἐδήλωσεν ἑαυτὸν αὐτὴν εἰρηκέναι ἀγάπην
τὴν τοῦ θεοῦ ἐκ τοῦ θεοῦ εἶπε. τῆς οὖν ἐκ θεοῦ
ἐστιν ἡ ἀγάπη. εἶπε γὰρ ὅτι ὁ θεὸς ἀγά-
πη ἐστί, καὶ ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστι.

Καὶ ὅτι ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται. πῶς
δὲ γεννᾶται ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ, μετὰ μι-
κρὸν ἐρεῖ. ἀγάπη τὸ θεὸς ἐκ θεοῦ τὸ εἶναι ἐκ-
γονος δηλοῖ. τὸ γὰρ δὲ τῷ πατρὶ οὐχ ἁρμόζει
ἀναίτιος γὰρ ἐστὶ τοῦτ' ἔστιν ἀπ' οὐδενός. λεί-
πεται ἢ τῷ υἱῷ ἢ τῷ ἁγίῳ πνεύματι προσήκειν
ἀγάπη μὲν τῷ ἁγίῳ πνεύματι, τοῦ γὰρ προσήθησιν
δῆλον δέ, ἐφεξῆς γὰρ τὴν ἀγάπην τοῦ θεοῦ
ἀναμνήσας οὐ καθὸ ἡμεῖς αὐτὸν ἀλλὰ καθ'
ὃ ἠγάπησεν ἡμᾶς, ἀπέστειλε τὸν υἱὸν αὐ-
τοῦ φησιν ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡ-
μῶν, ἐντεῦθεν ἐδίδαξε πῶς καὶ ἡμεῖς ἀλ-
λήλους ἀγαπῶμεν. ἀλλήλους δὲ ἀγαπῶν-

τες ὁ θεὸς ἐν ἡμῖν μένει· καὶ ἀντιστρόφως.
τοῦ θεοῦ ἀγαπῶντος ἀλλήλους ἀγαπῶμεν,
καὶ οὕτως ἐν τῷ θεῷ μένομεν, ἐννοοῦντες
γὰρ ὁπόσον ὁ θεὸς ἠγάπησεν ἡμᾶς, ἐπιστρε-
φόμεθα πρὸς τὸ ἀνταγαπᾶν αὐτόν. καὶ
οὕτως ἀγαπῶμεν ἀλλήλους. ἀδύνατον γὰρ
τὸν ἀγαπῶντα τὸν θεὸν μὴ καὶ τὸν πλησίον
φιλεῖν. διὸ καὶ ἔλεγεν ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ
γεγέννηται. τῆς ἀγάπης δηλονότι καὶ ἐκ
θεοῦ θεοῦ ἔφη. διὸ καὶ φησίν· ἡμεῖς δὲ ἀγαπῶ-
μεν ὅτι αὐτὸς πρότερος ἠγάπησεν ἡμᾶς.
ἐδίδαξεν οὖν ἐκ τῶν εἰρημένων ὅτι ἡ ἀγά-
πη τοῦ θεοῦ ποιεῖ ἡμᾶς αὐτὸν τὸν θεὸν καὶ

ἀλλήλους ἀγαπᾶν· καὶ οὕτως ἐν τῷ θεῷ μέ-
νειν, καὶ αὐτὸν ἐν ἡμῖν. τοῦτο γὰρ δὲ καὶ καλλίων
καθαρώτερον σαφηνίζει· εἰρηκὼς γὰρ τὸν
θεὸν ἀγάπην ἐπάγει· ἐν τούτῳ γινώσκομεν
ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν ὅτι
ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν, τὸ πνεῦμα θεῖ-
ον τὸ ἅγιον ἐξ οὗ δέδωκεν ἡμῖν ποιεῖ ἡμᾶς
ἐν τῷ θεῷ μένειν, καὶ αὐτὸν ἐν ἡμῖν. ὥστε ὃ
πρότερον τῆς ἀγάπης ὅρον ἔφησεν εἶναι
λέγων τὴν τοῦ θεοῦ καὶ ἡμῶν ἐν ἀλλήλοις μο-
νήν, τοῦτο γὰρ νῦν τοῦ ἁγίου πνεύματος εἶπεν, τὸ
πνεῦμα ἄρα τὸ ἅγιον ἐστὶν ἡ ἀγάπη, ὡς θεὸν
καὶ ἐκ τοῦ θεοῦ εἴρηκεν καὶ ἐξ αὐτοῦ γεννᾶ-

σθαι τοῖς ἀγαπῶντας εἶπεν, αὐτὸ οὖν τὸ
πνεῦμα τὸ ἅγιον δηλοῦται ἔνθα ἀναγινώσκο-
μεν ὁ θεὸς ἀγάπη ἐστίν. ὁ θεὸς τοίνυν τὸ πνεῦμα τὸ
ἅγιον τὸ ἐκπορευόμενον ἐκ τοῦ θεοῦ, ἐπει-
δὰν δοθῇ τῷ ἀνθρώπῳ. ὅτι γὰρ δίδοται καὶ ἀπο-
στέλλεται οὐδεὶς ἀντερεῖ, τοῦ κυρίου λέγοντος, ὅ-
ταν ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω. καὶ
ὃν πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, τοῦτο
οὖν ἐπειδὰν τῷ ἀνθρώπῳ δοθῇ, ὡς αὐτὸς ὁ ἀπο-
στέλλων οἶδε καὶ αὐτὸ τὸ ἀποστελλόμενον
ἅγιον πνεῦμα, ὅπερ ὅπου θέλει πνεῖ, ἀνά-
πτει τὸν ἄνθρωπον εἰς τὴν τοῦ θεοῦ ἀγάπην καὶ τοῦ
πλησίον. καὶ τότε ἀληθῶς ἐκ τοῦ θεοῦ γεν-

νάλλαι, τῷ τινὶ κῶν ἀναισχύνησιν δηλονότι,

οὐ δύναμιν σῶν οὐδὲ λογιζόμενος τὸ κακόν·

καὶ αὐτὸ τὸ διδόμενον παρὰ θεοῦ τῆς ἀγάπη

ἐστίν. ἡ γὰρ ἀγάπη φησὶν ὁ ἀπόστολος· ἐκ

κέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ τῆς ἁ-

γίου τοῦ δοθέντος ἡμῖν· διὸ καθὼς φησιν αὐ-

γουστῖνος καὶ δῶρον τοῦ θεοῦ ὀρθότατα κα-

λεῖται τὸ πνεῦμα τὸ ἅγιον. θεοῦ, καὶ χάρισμα.

ὃ καὶ ὁ μέγας βασίλειος φησί· χάριν γὰρ τελειοποιόν.

καὶ χάρισμα υἱοθεσίας αὐτό φησι καὶ ἀρρα-

βῶνα τῆς μελλούσης κληρονομίας καὶ τοῦ

υἱοῦ δὲ δωρεὰν ὁ θεῖος παῦλος εἴπεν. ὃ δὴ

δῶρον ὁ αὐτὸς αὐγουστῖνος φησί, ὑποθέ-

τερον κυρίως νοητέον· εἰ μὴ τὴν ἀγάπην
τὴν πρὸς τὸν θεὸν προσάγουσιν. καὶ ἧς ἐξ χω–
εἰς πᾶν ὅλον τοῦ θεοῦ χρίσμα οὐ προσάγει
πρὸς τὸν θεόν· περὶ δὲ τοῦ ὅτι ἀγάπη καὶ
δῶρον καὶ δωρεὰ τὸ πνεῦμα τὸ ἅγιον καλεῖ–
ται, πολλαῖς ῥήσεσιν τῆς θείας γραφῆς μαρ–
τυρείας καὶ τέλος, ῥητῶς οὕτως ἐπάγει.
σφόδρα μακρὸν ἀναλέγεσθαι πάσας,
καὶ ἄλλως δὲ ἥ τε ταῦτα ἀποχρήσει τοῖς
ἅπερ ἔφημεν μὲν ἀποχρῶντα· τῷ ὑφηγ
μένῳ χρὴ τούτους διδάξαι· ὡς ὁπότε
δῶρον θεοῦ ἤδη ζωοροῦσιν εἴρηται τὸ πνεῦμα
τὸ ἅγιον, ἐπειδὰν ἀποδῶσι δῶρον τοῦ ἁγίου

πνεύματος. ἐκεῖνο τὸ γένος ἐπιγινώσκεται τῆς δια-
λέξεως, ὅπερ εἴρηται ἐν τῇ ἀπεκδύσει τοῦ
σώματος τῆς σαρκός. ὥσπερ γὰρ τὸ σῶμα
τῆς σαρκὸς οὐδὲν ἕτερον ἐστὶν ἢ σάρξ. οὕτω
καὶ τὸ δῶρον τοῦ ἁγίου πνεύματος, οὐδὲν ἕτερον
ἐστίν. ἢ τὸ πνεῦμα τὸ ἅγιον, ἐπὶ τοσοῦτον τοίνυν
δῶρον ἐστὶ τοῦ θεοῦ, ἐφ' ὅσον δίδοται οἷς δί-
δοται, παρ' ἑαυτῷ δὲ θεός ἐστιν. εἰ καὶ μηδενὶ
δίδοται. ἐπειδὴ θεὸς ἦν τῷ πατρὶ καὶ τῷ υἱῷ συ-
ναΐδιος, πρὶν ἢ ἑκάστῳ δοθῆναι, ἀλλ' οὐδὲ μὴν
ἐπειδὴ οἱ μὲν διδόασι τὸ δὲ δίδοται διὰ ταῦτα
ἔλαττον ἐκείνων ἐστίν. οὕτω γὰρ δίδοται ὥσπερ
τοῦ θεοῦ δῶρον ὡς καὶ αὐτὸ ἑαυτὸ διδόναι

ὥσπερ θεός· οὐ γὰρ δυνατὸν λέγεσθαι μὴ εἶναι
τῆς ἑαυτοῦ ἐξουσίας περὶ οὗ εἴρηται τὸ πνεῦμα
ὅπου θέλει πνεῖ· καὶ πάλιν παρὰ τῷ ἀποστόλῳ
ὅπερ ἤδη ἀνωτέρω ἀνέμνησα, πάντα δὲ
ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαι-
ροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, οὐδὲ
ἐστὶν ἐκεῖ ὑποταγὴ τοῦ διδομένου καὶ δεσπο-
τεία τῶν διδόντων ἀλλ' ὁμόνοια τοῦ διδομένου
καὶ τῶν διδόντων. καὶ ἵνα μή τις εἴπῃ ὅ-
τι τοῦτον τὸν τρόπον εἴρηται ὁ θεὸς ἀγάπη
ἐστί· καθ' ὃν εἴρηται σὺ εἶ ἡ ὑπομονή μου,
καὶ ἡ ἐλπίς μου, φησὶν ἐν τοῖς αὐτοῖς, οὐκ
ἐροῦμεν ὅτι ὁ θεὸς ἀγάπη εἴρηται, διότι οὐκ

ἐστιν ἡ οὐσία ἐκείνη ἀγάπη, ἥτις ἐστὶν ἀ-
ξία τοῦ ὀνόματος τοῦ θεοῦ. ἀγαθὸν ὅτι δῶρον
ἐστὶ τοῦ θεοῦ ἡ ἀγάπη, ὥσπερ εἴρηται πρὸς
τὸν θεὸν ὅτι σοῦ ἐστιν ἡ ὑπομονή μου. οὐ γὰρ πάν-
τως διὰ ταῦτα εἴρηται ὅτι τοῦ θεοῦ ἐστιν ἡ οὐ-
σία ἡ ἡμετέρα ὑπομονή. ἀλλ' ὅτι παρ'
ἐκείνου ἡμῖν ἐστιν, ὥσπερ καὶ ἀλλαχοῦ ἀ-
ναγινώσκομεν ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή
μου. ταύτην γὰρ τὴν ἔννοιαν ἐκδήλως ἀπο-
κρούεται ἡ τῶν γραφῶν ὁμιλία. τοιοῦτον
γάρ ἐστι τὸ σοῦ ἐστιν ἡ ὑπομονή μου, ὁποῖόν ἐστι
τὸ κύριε ἡ ἐλπίς μου. καὶ ὁ θεός μου τὸ ἔλεός μου.
καὶ πολλὰ παραπλήσια οὐκ εἴρηται δὲ ὅτι ὁ

δὲ ἢ ἀγάπη μου. ἢ σὺ εἶ ἡ ἀγάπη μου.
ἀλλ' οὕτως εἰρημένον ἐστὶν, ὁ δὲ ἀγάπη ἐ-
στὶν, ὥσπερ εἴρηται. ὅ δέ τι τὸ πνεῦμα ἐστὶν, ὁ δὲ
τοῦτο μὴ διακρίνων νόησιν παρά τινι. ἀλλὰ
μὴ ἐξήγησιν παρ' ἡμῶν ζητείτω. οὐδὲ γὰρ κα-
θαρώτερόν τι λέγειν δυνάμεθα: δῆλον ἤ
καὶ ὅτι τὰ παρὰ τῆς γραφῆς ἀποδιδόμενα
τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι μαρτυροῦσι τοῖς
εἰρημένοις λόγοις περὶ τοῦ ἐν τῷ θεῷ λό-
γου καὶ τῆς ἀγάπης, ὅτι οἰκείως ἀπο-
δίδονται. φανερὸν γὰρ ἐκ τῶν προειρημένων
ὅτι ὁ υἱὸς τοῦ θεοῦ λόγος ἐστὶ αὐτοῦ. καὶ
ὥσπερ τις τόκος τοῦ θεοῦ ἑαυτὸν νοοῦντος,

ἕπεται τοίνυν αὐτὸν τὸν τοῦ θεοῦ λόγον ὥσπερ
σοφὸς τῷ θείῳ νῷ συλληφθέντα ἢ γεννηθέντα,
σοφίαν λέγεσθαι. οὐ γὰρ ἔνδον λόγος τὸ τῆς
σοφίας ἔξωθεν λαμβάνειν ὄνομα, ὃν τρόπον
καὶ αἱ ἐνέργειαι καὶ τὰ εἴδη τοῖς ὀνόμασι τῶν
ἕξεων ἀφ᾽ ὧν περιίασιν ὀνομάζονται. τὸ γὰρ
δικαίως γινόμενον δικαιοσύνη πολλάκις
λέγεται· καὶ τὸ ἀνδρείως ἀνδρεία, καὶ κα-
θόλου τὸ κατ᾽ ἀρετὴν ἀρετή, κατὰ τοῦτον
τοίνυν τὸν τρόπον, καὶ τὸ σοφῶς νοούμενον,
σοφία τινὸς λέγεται· ὅθεν ὁ ἀπόστολος τὸν
Χριστὸν θεοῦ σοφίαν ὀνομάζει. σοφίαν μὲν οὖν ἐπὶ
θεοῦ λέγεσθαι ἀνάγκη· καθὸ ἑαυτὸν γινώ-

σκει. ἀλλ' ἐπεὶ ἑαυτὸν οὐδ' ἑτέρου δέοιτο γινώ-
σκει ἀλλ' ἀεὶ διὰ μόνης τῆς ἑαυτοῦ οὐσίας, ὅθεν
θεός φησιν αὐτὸς ἑαυτὸν γινώσκει ἐκ τῆς μα-
καρίας οὐσίας, καὶ τοῦ τὴν σοφίαν ἔχειν αὐτὴν
ἀδιαίρετον, ἀλλ' ἔστιν ἡ οὐσία αὐτοῦ, οὐδὲ
γὰρ ἀνυπόστατόν τι ἢ συμβεβηκὸς ἐνδέχε-
ται λέγειν ἐν αὐτῷ. αὐτὸς δὲ ὁ τῆς σοφίας λό-
γος ἐν τῷ θεῷ συλληφθείς, φανέρωσίς τίς
ἐστι τῆς τοῦ νοὸς αὐτοῦ σοφίας, ὥσπερ καὶ αἱ
ἐν ἡμῖν πᾶσαι ἕξεις διὰ τῶν ἐνεργειῶν φα-
νεροῦνται. διὸ γὰρ ἀπὸ τῶν καθ' ἡμᾶς πραγ-
μάτων ὡς δι' ὑποδειγμάτων ἀνωφερῶν ἐ-
πὶ τὸν θεὸν ἀνάγεσθαι. ἐπεὶ οὖν καὶ φῶς λέ-

γεται ἡ σοφία καθόσον ἐν καθαρᾷ γνώσεως
ἐνεργείᾳ θεωρεῖται· ἡ δὲ τοῦ φωτὸς φανέ-
ρωσις ἀπαύγασμά ἐστιν αὐτοῦ καὶ ἐξ αὐτοῦ
πρόεισι, καὶ ὁ τῆς θείας σοφίας λόγος οἰκείως
ἀπαύγασμα φωτὸς ὀνομάζεται· καθὼς ὁ
ἀπόστολος περὶ τοῦ υἱοῦ φησιν ὅς ὢν ἀ-
παύγασμα τῆς δόξης· ὅθεν καὶ ὁ υἱὸς τὴν
τοῦ πατρὸς φανέρωσιν ἑαυτῷ ἐπιγράφει· λέγων,
πάτερ ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις,
καὶ τὰ πρὸς τὴν κτίσιν δὲ γινόμενα χαρίσ-
ματα καὶ ἀποτελέσματα εὑρήσεις ἀνα-
κείμενα παρὰ τῆς γραφῆς τῷ υἱῷ καὶ τῷ
ἁγίῳ πνεύματι· τῷ μὲν ὡς λόγῳ· τῷ δέ, ὡς ἁγια-

πῃ. τὸ παρὰ μὲν γὰρ δῆλον ὅτι διὰ τῶν πραγμάτων
τοῖς αὐτοῖς διδομένων χείρων ἡ πρὸς ἐκεῖνον
ὁμοίωσις ἡμῖν περιγίνεται. ταύταις γὰρ
τελειούμενοι τῷ τελειοτάτῳ θεῷ προσχωροῦ-
μεν. τὰ μὲν οὖν τῆς σοφίας καὶ ἀληθείας,
καὶ μάλιστα ὅσα θεογνωσίας ἔχεται θεωρή-
ματα οἰκειότερον αὐτῆς ἐπὶ τοῦ θεοῦ λό-
γον καὶ τὴν αὐτοῦ σοφίαν ἀνάγοι. τοῦ γὰρ πρώ-
του λόγου καὶ τῆς ἐκεῖ σοφίας πάντων οἱ τῇδε
αὐτῶν λόγοι σοφίαι τε καὶ ἀλήθειαι. εἰκό-
νες εἰσί, καὶ ἐπὶ τούτων ἵδρυται τὸ πρᾶ-
γμα. διὸ καὶ ἡ γραφὴ τὴν ἀποποίησιν τῶν
ὄντων τῷ θεῷ, ἀνατίθησι πάντα δι' αὐτοῦ

λέγουσα τὸ φῶς δημιουργηθῆναι, τοῦτο δέ
ἐστιν, οὐχ ὅτι μὲν πᾶν δώρημα τέλειον ἄνω-
θέν ἐστι καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώτων,
πάντα γὰρ ἐκείνου, διὰ λόγου καὶ ἐν τῷ πνι.
ἀλλ' ὅτι τῶν δωρεῶν διάφορα ἐστι τοῖς δια-
φόροις τῶν προσώπων ἰδιώμασιν οἰκειότερόν
πως ἔχειν δοκεῖ. ὁ μὲν γὰρ τῆς σοφίας λόγος δι'
οὗ τὸν θεὸν γινώσκομεν παρὰ θεοῦ ἡμῖν δίδο-
ται ἴδιον χαρακτηριστικὸν τοῦ υἱοῦ. ὁμοίως
δὲ καὶ ἡ ἀγάπη ἣ τὸν θεὸν ἀγαπῶμεν, ἰδίως
ἐστὶ χαρακτηριστικὸν τοῦ ἁγίου πνς. καὶ οὕτως
ἡ ἐν ἡμῖν ἀγάπη, ἣ καὶ ἀποτέλεσμα ἐστὶ
τοῦ πρς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνς, ὅ-

μος ἰδίως θελητικῷ λόγῳ διὰ τὴν τοῦ ἁγίου λέγεται
ἐν ἡμῖν εἶναι. καὶ καθόλου ἡ ἀπὸ τῶν χα-
ρισμάτων καὶ ἀποτελεσμάτων γινομένη
τελειότης. ὅτι διὰ ταύτης τῇ θείᾳ τελειότη-
τι κατὰ τὸ δυνατὸν ὁμοιούμεθα, παρὰ θεοῦ
ἡμῖν δίδοσθαι λέγεται. ὥσπερ σοφίαν ἡμῖν
ὁ θεὸς χαρίζεται, καθόσον τῇ θείᾳ σοφίᾳ ὡς δυ-
νατὸν ὁμοιούμεθα. καὶ τὴν ἀγάπην δίδο-
σθαι λέγεται. καθόσον τοῦ θεοῦ ἀγαπῶντος
τῇ ἀγάπῃ ὁμοιούμεθα τῷ ἀγαπῶντι δηλο-
νότι. ὁ κατὰ τὸν τῆς ἀγάπης πρὸς αὐτὸν τρό-
πον, ἢ ὁ θεὸς ἑαυτὸν ἀγαπᾷ ὡς αὐγουστῖνος
φησίν. ὅπερ οὖν εἴρηται. τὰ μὲν τοῦ λόγου

καὶ τῆς σοφίας χωριζόμεθα ἐπεὶ τὸν προφορικὸν λό-

γον καὶ τὴν θείαν σοφίαν ἀνενεκτέον. τὰ δὲ

τῆς ἀγάπης ἔργα, τῷ ἁγίῳ πνεύματι προσαρμο-

ζόμενα δείκνυνται. αὕτη καὶ τὸ ὅλον τὸ ἀγα-

πᾶν, πάντων τῶν θείων δώρων ὁ παῦλος προ-

τίθησι. τὰ μὲν γὰρ ἄλλα φασὶν, ἐστὶν ὅτε κα-

ταργηθήσονται. ἡ ἀγάπη δέ φησιν οὐδέ-

ποτε ἐκπίπτει. καὶ τοὺς, μὴ κεκτημέ-

νους, κἂν ταῖς τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων γλώσ-

σαις λαλῶσιν χαλκὸν ἢ κύμβαλον ἀλαλά-

ζον εἶναι φησί. ταύτης τοίνυν τῆς οὕτω πε-

ριφανοῦς δωρεᾶς, μόνην δι' ἔργων τὴν θείαν

ἀγάπην αἰτητέον, ἀφ' ἧς αἱ ψυχαὶ πρὸς τ

θεῖον ἐξάπτονται ἔρωτα, διότι γὰρ μετὰ τὸ
πρῶτον πάντα παρὰ τοῦ πρώτου· ὥστε
καὶ πᾶν ὅσον ἂν ᾖ παρ' ἡμῖν θείας ἀγάπης
τῆς πρώτης ἀγάπης ἐκείνως ἔργον εἶναι
πιστεύοιτο. αὐτὴν ταύτην τὴν τοῦ θεοῦ τοῖς ἀν-
θρώποις ζωοποιοῦσαν χάριν. ὁ Παῦλος τῷ
ἁγίῳ πνεύματι ἀποδέδωκεν, ἡ ἀγάπη γάρ φησιν
τοῦ θεοῦ. ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν.
καὶ δυνάμενος ὅλην τὴν θεότητα τῆς ἀφ-
θονίας ταύτης αἰτίαν εἰπεῖν, ἰδιαίτερόν
πως τῷ ἁγίῳ πνεύματι ταύτην ἀπένειμε, προ-
σθεὶς, διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν, ἐ-
πὶ τὴν θείαν ἀγάπην ὡς πρώτην καὶ αἰτί, 6,

τὴν περὶ ἡμῶν ἀναφέρων ἀγάπην. καὶ ἀρή-
κε διὰ τῆς ἐκκεχύσθαι. ἀλλὰ καὶ τὴν ἐν ἡ-
μῖν ἐνοίκησιν τοῦ θεοῦ, καὶ αὐτὴν ἡμᾶς
ἐν ἐκείνῳ ὁ δὴ μέγιστον τῆς αὐτῆς μακαριό-
τητος τινὸς αὐτῆς μᾶλλον ἢ τῆς ἀγάπης ἔρ-
γον φήσειεν εἶναι τῆς ἐστὶν ἀλλήλοις ἐνοική-
ζειν τοὺς ἀλλήλων ἐρῶντας. ἀλλὰ καὶ τούτου
τὴν αἰτίαν ὡς εἴπομεν ἐπὶ τὸ θεῖον πνεῦμα ἡ
γραφὴ ἀνάγει. ἐν τούτῳ γάρ φησι γινώσκο-
μεν ὅτι αὐτὸς ἐν ἡμῖν μένει. καὶ ἡμεῖς ἐν
αὐτῷ, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν.
ἐπεὶ δὲ ἐκ τῆς ἀγαθῆς θελήσεως καὶ τῆς περί
γινα ἔχει καὶ τῆς ἀγάπης συμβαίνει τοῦτο

υἱοθετεῖν, ὥστε ἐντεῦθεν τούτῳ τῷ τοῦ υἱοθε-
τοῦντος κληρονομίαν ἀνήκειν, ἐκ θατέρου δὲ
ἁγίῳ πνεύματι, ἡ τῶν υἱῶν εἰσποίησις ἀποδίδο-
ται. ὡς φησὶν ὁ ἀπόστολος· ἐλάβετε πνεῦμα
υἱοθεσίας ἐν ᾧ κράζομεν ἀββᾶ, ὁ πατήρ, ἀλ-
λὰ καὶ ἐκ τοῦ καταστῆναι τινὰ φίλον τινός.
πᾶσα ἀναιρεῖται ἔχθρα· τοῦτο γὰρ τῇ φιλίᾳ
ἐστὶν ἐναντίον, καὶ ὅτι τῶν ἁμαρτανομένων
τοῖς φίλοις, παρ' ἀλλήλων συγγνώμη δίδοται,
ἡ γὰρ φιλία καὶ ἀγάπη, ποιεῖ τοὺς φίλους
τοῖς φίλοις ἁμαρτάνουσι συγγινώσκειν. ἡ
γὰρ ἀγάπη φησί, πάντα στέγει, πάντα ὑπο-
μένει. καὶ ὁ παροιμιαστής, ἡ ἀγάπη καλύ-

διὰ πλῆθος ἁμαρτιῶν. ἐπεὶ τοίνυν διὰ τοῦ ἁγί-

ου πνεύματος φίλοι τοῦ θεοῦ καθιστάμεθα, ἑπόμε-

νόν ἐστι καὶ δι' αὐτοῦ ἡμῖν τὰς ἁμαρτίας ἀφίε-

σθαι· καὶ διὰ τοῦτο φησὶν ὁ Χριστός· λάβετε πνεῦμα ἅ-

γιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται

αὐτοῖς. καὶ ὅτι τοῖς βλασφημοῦσιν εἰς τὸ πνεῦμα

τὸ ἅγιον ἡ τῶν ἁμαρτιῶν ἄφεσις ἀπείρηται.

ὡς ἂν οὐκ ἔχουσιν ἐκεῖνο δι' οὗ τῆς τῶν ἁμαρ-

τιῶν ἀφέσεως τυγχάνει ὁ ἄνθρωπος. ἐντεῦθεν ἐστὶ

καὶ τὸ διὰ τοῦ ἁγίου πνεύματος ἡμᾶς ἀνακαινί-

ζεσθαι λέγεσθαι καὶ καθαίρεσθαι ἢ ἀπολούε-

σθαι. ὡς ὁ προφήτης· ἐξαποστελεῖς τὸ πνεῦ-

μά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ

πρόσωπον

πρόσωπον τῆς γῆς, οὐ μὴν ἀλλὰ καὶ οἱ ἄν-
θρωποι κοινωνοῦσιν ἀλλήλοις ὧν ἔχουσιν
ἀπορρήτων, διὰ φιλίαν καὶ ἀγάπην,
ὃ καὶ ὁ χριστὸς ἐδήλωσεν εἰπών, οὐκέτι ὑμᾶς
καλῶ δούλους, ἀλλὰ φίλους. ὅτι πάντα
ἤκουσα παρὰ τοῦ πατρός μου ἀνήγγειλα ὑμῖν,
ὡς τὸν αὐτὸν φίλον τε εἶναι καὶ κοινωνὸν
ἀπορρήτων. ἐπεὶ οὖν διὰ πνεύματος ἁγίου δι' οὗ
ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις
ἡμῶν φίλοι θεοῦ καθιστάμεθα, εἰκότως διὰ
τοῦ ἁγίου πνεύματος ἡ γραφὴ λέγει τὰ θεῖα μυστή-
ρια τοῖς ἀνθρώποις ἀποκαλύπτεσθαι. εἰπὼν
γὰρ ὁ παῦλος γέγραπται ὅτι ὀφθαλμὸς

οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν ἃ ἡτοίμασεν
ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἐπάγει. ἡμῖν δὲ
ἀπεκάλυψεν ὁ θεὸς διὰ πνεύματος ἁγίου. καὶ
τὸ ὑπὲρ οἶων μαρτύριον τοῦ τῶν ἐκ τοῦ θεοῦ
ἀγάπην αὐτὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ
διὰ τούτου τοῖς ἁγίοις ἀποκαλύπτεται τὰ
θεῖα μυστήρια, ὃ πανταχοῦ Παῦλος ἀγά-
πης ἔργον ἴσασιν οὖν. ἐπεὶ δὲ καὶ τῶν ἔνδον
νοουμένων ἑρμηνευτική ἐστιν ἡ διὰ γλώτ-
της ἀπαγγελία, πρόσκειται τῷ τῶν γνῶσιν τῶν
μυστηρίων ἀποκαλύπτοντι, καὶ τὸ τῶν γλωσ-
σῶν χάρισμα λεχθῆναι. καὶ τοῦτο πάλιν
αὐτὸς ἔδειξεν ὁ Χριστὸς. τὰς ὑπὲρ τῶν μαρτύρων

πρὸς τοὺς βασιλεῖς καὶ ἡγεμόνας ὑπὲρ
τῆς πίστεως ἐνστάσεις καὶ διαλέξεις, τῷ ἁ-
γίῳ πνεύματι ἀποδέδωκεν. οὐ γὰρ ὑμεῖς ἐστὲ
οἱ λαλοῦντες φησίν, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς
ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. ὅθεν καὶ ἐν
τῷ συμβόλῳ γέγραπται περὶ τοῦ ἁγίου
πνεύματος· τὸ λαλῆσαν διὰ τῶν προφητῶν, οὐ μό-
νον δὲ τὸ τὰ ἀπόρρητα ἑαυτοῦ τῷ φίλῳ ἀ-
ποκαλύπτειν ἴδιον ἐστὶ φιλίας, διὰ τὴν
τῆς διαθέσεως ἑνότητα, ἀλλ' ἡ αὐτὴ ἑνότης
ἀπαιτεῖ τὸ κοινωνεῖν τῶν ὄντων τοῖς φίλοις·
ἐπεὶ γὰρ ὁ ἄνθρωπος ἄλλον ἑαυτὸν ἔχει τὸν φίλον,
ἀνάγκη βοηθεῖν αὐτῷ ὡς ἑαυτῷ τῶν ὄντων

κοινωνεῖν. ὅθεν, καὶ τὸ ὑπὲρ ἴδιον ἐστὶ τῆς φιλίας ἀγαθόν, τῷ φίλῳ βούλεσθαι ἀγαθὸν καὶ ποιεῖν. διὸ καὶ φησὶν ὁ διαγγελιστὴς ἰωάννης. ὁ ἔχων τὴν οὐσίαν τοῦ κόσμου τούτου. καὶ βλέπων τὸν ἀδελφὸν αὐτοῦ ἀνάγκην ἔχοντα. καὶ κλείων τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ, τὸ ὑπὲρ δὲ ἐπὶ τοῦ θεοῦ μάλιστα τόπον ἔχει. οὗ τὸ βούλεσθαι ἐνεργέστατον περὶ τὸ ποιεῖν. καὶ διὰ τοῦτο εἰκότως πάντα τὰ τοῦ θεοῦ χαρίσματα διὰ πνεύματος ἁγίου λέγονται δίδοσθαι ὡς ὁ ἀπόστολος φησί. δίδοται διὰ πνεύματος λόγος σοφίας. κατὰ τὸ αὐτὸ πνεῦμα, καὶ

μετὰ ταῦτα πολλῶν ἀπαριθμηθέντων, ταῦ-
τα πάντα φησίν, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ
πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται· τῆ
γὰρ δὲ ὑπερβαλλούσης ἀγάπης τεκμή-
ριον. τὸ ζητεῖν τοῖς φίλοις ὁμοῦ διατρίβειν
τὸν φίλον καὶ αὐτοὺς χαίρειν ἐν ταῖς κοιναῖς
συνουσίαις καὶ ὅλως οὐκ ἀνέχεσθαι χωρι-
ζομένους ἀλλήλων. ἡ δὲ μετὰ τοῦ θεοῦ τῶν
ἁγίων διατριβή, διὰ τῆς αὐτοῦ περιγίνεται
θεωρίας ὥς φησιν ὁ ἀπόστολος. ἡμῶν τὸ πο-
λίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ἐπεὶ τοίνυν τὸ
πνεῦμα τὸ ἅγιον θεάσασθαι ἡμᾶς ποιεῖ τοῦ θεοῦ,
εἰκότως δι' αὐτοῦ καὶ θεωρεῖ τοῦ θεοῦ κα-

θησάμεθα. ὅθεν ὁ αὐτός φησιν. ἡμεῖς δὲ
πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν
δόξαν τοῦ κυρίου κατοπτριζόμενοι, εἰς τὴν αὐ-
τὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης
εἰς δόξαν. καθάπερ ἀπὸ κυρίου πνεύματος. ἔτι δὲ
φιλίας ἴδιόν ἐστι καὶ ἐν τῇ παρουσίᾳ τοῦ φί-
λου χαίρειν τὸν φίλον. καὶ τοῖς αὐτοῦ ἔργοις
καὶ λόγοις ἥδεσθαι. παρ' αὐτοῦ τε παραμυ-
θίαν πρὸς πάσας τὰς δυσχερείας εὑρίσκειν.
ὅθεν ἐν ταῖς λύπαις παραμυθίας ἕνεκα
πρὸς τοὺς φίλους μάλιστα καταφεύγομεν.
ἐπεὶ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον, φίλους ἡμᾶς κα-
θίστησι τοῦ θεοῦ, καὶ αὐτὸν ἐν ἡμῖν καὶ ἡμᾶς

ἐν αὐλῷ ποιεῖ καλοικεν, ὡς παραποδεί-
δεικνυται, ἥκος ἐστὶ δι' αὐλοῦ καὶ εὐφροσύνην
ἡμᾶς καὶ παράκλησιν λαμβάνειν παρὰ θεοῦ
πρὸς πάσας τὰς ἐκ τοῦ κόσμου δυσκο-
λίας καὶ μάχας. ὅθεν καὶ ὁ ψαλμωδὸς
λέγει ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτη-
σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με, καὶ
ὁ ἀπόστολος ἡ βασιλεία τοῦ θεοῦ δικαιοσύνη,
καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ. καὶ ἐν
ταῖς πράξεσι τῶν ἀποστόλων, λέγεται περὶ
τῆς ἐκκλησίας οἰκοδομουμένη πορευομένη
ἐν φόβῳ θεοῦ καὶ τῆς παρακλήσεως τοῦ ἁ-
γίου πνεύματος ἐπληθύνετο. διὰ τοῦτο καὶ ὁ κῦ

τὸ πνεῦμα τὸ ἅγιον παρήγορον ὀνομάζει· ἀλλὰ
μὲν καὶ τὸ μηδενὶ δεδουλῶσθαι καὶ ἡ ἐλευ-
θερία· ὡς μέγιστον ἀγαθὸν καὶ σπουδάζε-
ται καὶ φιλεῖται· οἱ γοῦν οὐ φόβῳ κολά-
σεως ὥσπερ δοῦλοι· ἀλλὰ διὰ τὴν τοῦ θεοῦ
ἀγάπην καὶ φιλίαν ἐπιμελούμενοι ἀρέ-
σκειν θεῷ, οὗτοι εἰσὶ μόνιμοι ἐλευθέρως καὶ
ἑκουσίως πρὸς αὐτὸ διακείμενοι. ἀλλ' οὐχ
ὑπ' ἀνάγκης ἢ βίας τ' ἀγαθὸν ὡς δοῦλοι πράτ-
τοντες· καὶ οἱ τοιοῦτοι· υἱοὶ καὶ φίλοι εἰσὶν
ἄξιοι καλεῖσθαι τοῦ θεοῦ. ἤγουν παντελὴς
καὶ παντὸς δέους ἀπηλλαγμένη ἐλευθερία
ἐν ᾗ μάλιστα καὶ ἡ τῆς ἀρχαίας εἰκόνος σω-

γλῶττα καταφαίνεται. ὡς παρὰ ἅπαντας ἀγά-
πης τοῦ ἁγίου πνς δίδοται τοῖς τῆς θείας
υἱότητος καταξιωθεῖσιν. ὅσοι γάρ
φησι παῦλος πνι θυ ἄγονται, οὗτοί εἰσιν
υἱοὶ θυ. καὶ πάλιν. ὅπου τὸ πνα κυ.
ἐκεῖ ἡ ἐλευθερία. καὶ εἰ πνι ἄγεσθε, οὐκ ἐστὲ
ὑπὸ νόμον. ἐντεῦθεν ἐστὶ καὶ τὰ τῆς σαρ-
κὸς ἔργα θανατοῦν τὸ πνα λέγεσθαι. κα-
θότι διὰ τῶν παθῶν τῆς σαρκὸς ἀποχω-
ρούμεν τοῦ ἀληθῶς ἀγαθοῦ, πρὸς ὃ διὰ
ἀγάπης ἡμᾶς τὸ πνα τὸ ἅγιον ἕλκει. ὡς
ὁ ἀπόστολος πρὸς ῥωμαίους. εἰ πνι τὰ
ἔργα τῆς σαρκὸς θανατοῦτε. ζήσεσθε.

πολλὰ δ᾽ ἄν τις εὕροι καὶ ἀγαθῶν ἄλλων ἰ-
δίως τῷ ἁγίῳ πνεύματι προσαρμοζόμενα τὰ τῆς
ἀγάπης ὀνόματα δεικνύοιτο. ὡς δῆλον ἐν-
τεῦθεν γίνεσθαι ὡς ἀγάπην ἐκ θεοῦ προϊέ-
ναι τὸ ἅγιον πνεῦμα ὥσπερ τὸν υἱὸν ὡς λόγον
ἢ νόησιν ἀμφοτέρους πρὸς τοῦ θεοῦ νοῦ καὶ
πρὸς τὴν ὑπόστασιν ἔχοντας. ταῦτα μὲν ἐπὶ
τοσοῦτον: ἄλλως δὲ τῶν ἁγίων τὴν ἕνωσιν μό-
νην καὶ τὴν διάκρισιν μετρίως δηλῶσαι
βουληθείς, τρεῖς λαμπάδας ἐνεθυμήθη
ἴσας ἀλλήλαις ἁπτομένας ἐν ἑνὶ οἴκῳ, καὶ
δι᾽ ἐν αὐτῷ, τὸ φῶς, τῶν τριῶν ὡς ἐκ μιᾶς ἐν
ὁρώμενον, καὶ μιᾶς αὐτῶν ὑπεξαιρουμένης

τὸ φῶς αὐτῆς αὐτῇ συνακολουθεῖ· τῶν πε-
ριλαμπομένων δύο φώτων. καθ' ἑαυτὰ μη-
δὲν μηδαμῇ μήτε ἐλαττουμένων μήτε αὐ-
ξουμένων. δῆλον οὖν ὅτι τὰ τρία ταῦτα
τῶν τριῶν λαμπάδων φῶτα ὅτε ἡμῖν ὡς
ἓν ἑωρῶντο, καθ' ἑαυτὰ διακεκριμένα καὶ
οὐ συγκεχυμένα ἦσαν. οὐδὲ γὰρ ἂν ἀμι-
γῶς καὶ οἷον ἰδιοϋποστάτως ἐθεωρεῖτο τὸ
ἓν μετὰ τὴν ὑφαίρεσιν. οὕτως οὖν καὶ τὰ
τρία πρόσωπα φανταζόμεθα ἓν μὲν ἔχειν
κατὰ τὴν οὐσίαν ἀμιγῶς δὲ ὅμως καὶ
ἀσυγχύτους φυλάττειν τὰς ἰδιότητας. εἰς
ἀλλήλας αὐτὰς τὰς ὑποστάσεις περιχωροῦ-

σας. ἔτι καὶ περὶ τούτων ἡ διάνοια ἡμῶν
οὐκ ἐξικνεῖται ὡς δεῖ. ὁ δὲ μέγας βασί-
λειος εἰς δήλωσιν τοῦ τοιούτου, τὸ ἐν οὐνῷ
τόξον λαμβάνει. ὅπερ ὅταν ὄμβρος γίνη-
ται φαίνεται ὑγρότητος περὶ τὸν ἀέρα συνι-
σταμένης, καὶ τῆς τοῦ ἡλίου ἀκτῖνος κατὰ
τὸ πλάγιον ὑποτρεχούσης τὴν πυκνότητα
τῶν νεφῶν. εἶτα κατὰ τὸ εὐθὺ. νέφει τινὶ
τὸν κύκλον τὸν ἴδιον ἐπερειδομένης. ὥσπερ
γὰρ ἐκεῖνο ἓν μὲν ἐστι κατὰ τὴν οὐσίαν τοῦ
ἀέρος, πολλὰ δὲ ἐν αὐτῷ χρώματα φαί-
νονται, καὶ φανερῶς τὰς διαφορὰς τούτων
διαγινώσκομεν οὐ δυνατὸν δὲ τῇ αἰσθήσει

καταλαβεῖν τὴν διάστασιν τοῦ ἑτέρου πρὸς
τὸ ἕτερον. ἀλλὰ τρόπον τινὰ καὶ συνεχές ἐ-
στι καὶ διῃρημένον, τὴν αἴσθησιν ἡμῶν ὑ-
ποκλέπτον ὡς μὴ διαγινώσκειν τὸν τοῦ διά-
μέσου τὸν μιγνύοντα δι' ἑαυτοῦ καὶ χωρί-
ζοντα τὴν τῶν χρωμάτων ἑτερότητα, οὕτω καὶ
ἐν τῇ κοινότητι τῆς οὐσίας τοῦ θεοῦ αἱ γνω-
ριστικαὶ ἰδιότητες ἐπιλάμπουσι κατὰ
μὲν τὴν οὐσίαν οὐδεμιᾶς ἐν ταῖς ὑποστά-
σεσι νοουμένης διαφορᾶς· κατὰ δὲ τὰς
αὐτῶν ἰδιότητας μόνον τῆς διαφορᾶς οὔσης.
ὥστε καὶ τὸ συνημμένον ἐν τῇ οὐσίᾳ καὶ
τὸ κεχωρισμένον κατὰ τὰς ὑποστάσεις δι-

διασκέψασθαι, εἰ καὶ ὥσπερ ἐπὶ τοῦ λόξου οὐ
δυνάμεθα ἱκανῶς τῇ αἰσθήσει διακρῖναι
τοῦ ἑτέρου τὸ ἕτερον, οὕτω καὶ ταῦτα τὸ
ἓν τοῦ ἑτέρου διεζευγμένον οὐκ ἔστι νοεῖν
διὰ τὴν ἀκροτάτην ἕνωσιν· εἰ δὲ ἐπὶ τῶν καθ'
ἡμᾶς ἡ αἴσθησις οὐκ ἐξισχύει τὴν ἕνωσιν
καὶ τὴν διάκρισιν τελείως καταλαβεῖν, πῶς
οὐ πολλῷ μᾶλλον ἐπὶ τῆς ἁγίας τριάδος
τοῦ ἑνὸς θεοῦ τῆς ὑπὲρ πάντα καὶ πᾶσαν
νόησιν ἀσυγκρίτως ἐξῃρημένης, ἡ τῶν λο-
γισμῶν κατάληψις ἀδυνατήσει:—

περὶ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου κατὰ τὰς θείας γραφάς:

ε΄ Τούτων δὲ θεωρηθέντων κατὰ τὴν τῆς γραφῆς

καὶ τῶν ἁγίων διδασκαλίαν. ἐκπιστεύομεν
καὶ ὁμολογοῦμεν ὅτι ὁ εἷς τῆς ἁγίας τρια-
δος ὁ υἱὸς τοῦ θεοῦ ἐπ᾽ ἐσχάτων τῶν αἰώνων
διὰ τὴν ἡμετέραν σωτηρίαν ὑπερβαλλούσῃ
φιλανθρωπίᾳ προσελάβετο σῶμα ἄγνον
ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου μα-
ρίας, καὶ ἐγεννήθη ἐξ αὐτῆς ὡς αὐτὸς χω-
ρὶς ἁμαρτίας. ὁ αὐτὸς ὢν θεὸς τέλειος καὶ
ἄνθρωπος τέλειος. ἐν μιᾷ ὑποστάσει δύο φύσεις
ἔχων. καὶ δύο διάφορα θελήματα ταῖς
φύσεσι κατάλληλα καὶ προσήκοντα. τὸ
μὲν θεῖον δηλονότι, τὸ δὲ, ἀνθρώπινον. καὶ τῷ
ποτὲ μὲν ὡς θεὸς ἐνήργει. ποτὲ δὲ ὡς ἄνθρωπος

ἐπετέλει τε καὶ ἔπασχε. τὸ μὲν γὰρ ἀνιστᾶν
τοὺς νεκροὺς καὶ παραλύτους συσφίγγειν.
καὶ τοὺς τυφλοὺς ὀμματοῦν. καὶ τὰ ὁ-
μοια τούτοις ἐνεργεῖν. θεότητος ἦν ἔργον καὶ
ἀληθῆ θεὸν αὐτὸν ἐμαρτύρουν, τὸ δὲ πεινῆν
καὶ διψῆν καὶ κοπιᾶν καὶ σταυρῷ προσηλω-
θῆναι καὶ ταφῆ καὶ θανάτῳ. ταῦτα δὲ πέπον-
θεν ἅτινα ἦν ἔργον. καὶ ἀληθῶς ἄνθρωπον αὐτὸν
ἐμαρτύρουν. ὃ δὴ μυστήριον ὅλον θεὸν ἄνθρωπον
γενέσθαι τῶν ἐξ αἰῶνος ἀκουσθέντων θαυ-
μάτων ἐστὶ θαυμασιώτερον. οὐδὲ γὰρ ἐν
τῷ χριστῷ μόνην μὲν ἀνθρωπίνην φύσιν ἡ καθολικὴ
πίστις τῆς ἐκκλησίας ὁμολογεῖ. πῶς δὲ

θεότητα οὐ κατὰ φύσιν αὐτὰ κατὰ μετο-
χὴν ἐν αὐτῷ γενέσθαι. ταύτης ἀξιωθέν-
τες δι' ἔργων ἀγαθῶν, καθὼς ἐφρόνει
Φωτεινὸς καὶ Παῦλος ὁ Σαμοσατεύς. οὐδ'
ὅτι κατὰ φαντασίαν ὁ τοῦ θεοῦ υἱὸς ἐγένε-
το ἄνθρωπος ὥσπερ ἐφρόνουν οἱ μανιχαῖοι.
οὐδὲ διδάσκει ἡ τοῦ θεοῦ ἐκκλησία ὅτι ὁ
τοῦ θεοῦ υἱὸς εἰς ἀνθρωπίνην μετεβλήθη σάρκα
ὡς Ἀπολινάριος ἔλεγεν, οὐδ' ὅτι μόνην
μὲν ἀνέλαβε σάρκα· ἄψυχον μέντοι καὶ
ἄλογον καὶ ἄνουν, ἀντὶ δὲ ψυχῆς μόνην
αὐτῷ τὴν θεότητα γεγονέναι· ὥσπερ Ἄ-
ρειος περὶ Χριστοῦ καὶ τοῦτο ἐφρόνησε, καὶ ἀ-

ἀπολλινάρειος λεγόμενος ὑπὸ τῆς γρα-
φῆς, ὅπου μετεβλήθη ὁ τοῦ θεοῦ υἱὸς εἰς
ἀνθρωπίνην σάρκα καὶ μεταβαίνων εἰς τοῦ χριστοῦ· οὐδ'
ὅτι ψυχὴν αἰσθητικὴν ἔλαβε μόνον, ἄνευ
μέντοι διανοίας καὶ νοὸς ἃ τῆς λογικῆς
ψυχῆς ἐστὶν ἴδια· ὡς καὶ τοῦτο ἀπολλινά-
ρειος λέγει. οὐδ' ὅτι ἡ τοῦ χριστοῦ ψυχὴ πρὸ τοῦ
κόσμου ἐκτίσθη ὡς ὠριγένης, καὶ τοῦτο
ἐφρόνησεν, οὐδ' ὅτι ἀνθρωπίνη ψυχὴ καὶ σῶμα
ἀνθρώπινον· εἰς ἓν συνέστησαν ἐπὶ τοῦ χριστοῦ· καθ'
ὁμοιότητα τῶν ἄλλων ἀνθρώπων καὶ ἐν τούτῳ
τῷ ἀνθρώπῳ, ὥσπερ ἐν ἰδίῳ ναῷ ὁ χριστὸς κατῴ-
κησεν, χάριτι δηλονότι, ὡς ἐν τοῖς ἄλλοις

ἀεὶ πᾶσιν ἀξίοις, ὅπερ νεστόριος ἐδογμά-
τισεν. οὐδὲ δύο ὑποστάσεις οὐδὲ μίαν
φύσιν ἢ θέλησιν. οὐδὲ ἐπὶ τούτων ἡ κα-
θολικὴ ἐκκλησία φρονεῖ. ἅπερ ἐφλυά-
ρησαν οἱ αἱρετικοί, οἱ καὶ ἀποδοκιμα-
σθέντες ὑπὸ καθολικῶν συνόδων ἀπορριφ-
θέντες, ὡς ἀλλότρια τῆς ὑγιοῦς πίστεως
περὶ τοῦ χριστοῦ φρονήσαντες. ἀλλ᾽ ὁμολογεῖ καὶ
κηρύττει ἐν τῷ χριστῷ εἶναι θείαν φύσιν τε-
λείαν καὶ ἀνθρωπίνην τελείαν, ἐκ ψυχῆς δηλο-
νότι λογικῆς συνεστηκυίας καὶ ἀνθρωπίνης
σαρκός. καὶ ὅτι αὗται αἱ δύο φύσεις ἥ-
νωνται οὐ κατὰ μόνην ἐνοίκησιν οὐδὲ

κατὰ τὸ συμβεβηκός, ὥσπερ ἑνοῦται
τῷ ἱματίῳ ὁ ἄνθρωπος, οὔτε ἐν μόνῃ προσω-
πικῇ σχέσει καὶ ἰδιότητι, τουτέστιν οἰκειό-
τητι, καὶ ὀνόματι μόνον. ἀλλὰ κατὰ
μίαν ὑπόστασιν καὶ ὑποκείμενον ἕν. καὶ
ὥσπερ ἐν τῇ τριάδι ἐν μιᾷ φύσει πλείω
ἐστὶ πρόσωπα ὑφεστῶτα, οὕτω ἐν τῷ τῆς
σαρκώσεως μυστηρίῳ ἐν πλείοσι φύσε-
σι, τουτέστιν ἐν δυσίν, ἐστὶν ἓν πρόσωπον
ὑφεστώς. καὶ γὰρ κατὰ τοῦτον μόνον τὸν τρό-
πον δύνανται σώζεσθαι τὰ ἐν ταῖς γρα-
φαῖς παραδεδομένα περὶ τῆς σαρκώσεως,
ἐπεὶ γὰρ ἡ γραφὴ ἀδιακρίτως τῷ ἀνθρώπῳ τὰ

τοῦ θῦ ἀποδίδωσι, καὶ τὰ τοῦ αὐτοῦ τοῦ θῦ
ὡς ὅταν λέγῃ ὁ αὐτὸς οὗτος οὐρανὸν καὶ γῆν
ἐστερέωσε καὶ ὁ κς τῆς δόξης ἐσταυρώθη καὶ
ἀπέθανεν, ἀνάγκη ἕνα καὶ τὸν αὐτὸν εἶναι
περὶ οὗ ἀμφότερα εἴρηνται, καὶ ὅτι τὰ
ἐναντία λέγονται περὶ αὐτοῦ ὡς τὸ παθη-
τὸν καὶ ἀπαθές· καὶ τὸ θνητὸν καὶ ἀθάνα-
τον, καὶ ὁ ὢν γίνεται, καὶ ἄκτιστος κτί-
ζεται καὶ τὰ τοιαῦτα, ἃ δυνατὸν δὴ λέγεσθαι.
ταῦτα κατὰ τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ
ἀληθῶς· πῶς γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐ-
τὸ καὶ θνητὸν ὁμοῦ καὶ ἀθάνατον καὶ κτι-
στὸν καὶ ἄκτιστον. ὁμολογητέον τὸ τοῦ θῦ ἐκ

κλησία ὅλη καθ' ἕτερον καὶ ἕτερον τρόπον
λέγονται τὰ λεγόμενα ἅπαντα περὶ τοῦ
χριστοῦ· δηλονότι τὰ μὲν θεῖα ἁρμόζουσιν αὐ-
τῷ καθότι ἐστὶ θεός· τὰ δὲ ἀνθρώπινα καθότι ἐγέ-
νετο ἄνθρωπος, καὶ γὰρ κατὰ μὲν τὴν τοῦ θεοῦ μορ-
φὴν πάντα δι' αὐτοῦ ἐγένετο καὶ αὐτὸς καὶ
ὁ πατὴρ ἕν εἰσι. καὶ ὥσπερ ὁ πατὴρ ἔχει ζωὴν
ἐν ἑαυτῷ τουτέστιν ἐγέννησεν αὐτὸν ζωὴν
καθὼς ὁ θεῖος χρυσόστομος ἐξηγεῖται, καὶ
αὐτός ἐστιν ὁ ἀληθινὸς θεὸς ἡ ζωὴ ἡ αἰώνιος,
καὶ πάντα ὅσα ἔχει ὁ πατὴρ αὐτοῦ εἰσι. πάν-
τα γάρ φησι τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά.
καὶ δεδόξασμαι ἐν αὐτοῖς. κατὰ δὲ τὴν

τοῦ αὐτοῦ δουλικὴν μορφήν, ἣν προσελά-
βετο. ἐγένετο ἐκ γυναικός. ἐγένετο ὑπὸ νό-
μον. καὶ οὐκ ἦλθε ποιῆσαι τὸ θέλημα
αὐτοῦ, ἀλλὰ τοῦ πέμψαντος αὐτόν. πολ-
λὰ τοίνυν ἐπὶ τοῦ Χριστοῦ ὀνόματα λέγονται,
διὰ τὴν, τὴν ἐκ δύο φύσεων συνδρομὴν κατὰ
μίαν ὑπόστασιν τὰ μέν, γὰρ ἁρμόζουσιν αὐ-
τῷ ὡς θεῷ, καθάπερ εἴπομεν. καὶ ταῦτα
ὀνόματα πρὸ τῆς ἑνώσεως ἐπ' αὐτοῦ κα-
λοῦνται, ἁρμόζουσι δὲ πρὸ τῆς ἑνώσεως
καὶ ὅσα περὶ αὐτοῦ προφητικῶς εἴρηνται,
ὡς τὸ ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει. καὶ ἰδοὺ
ὁ βασιλεύς σου ἔρχεταί σοι. καὶ τὸ μετὰ ταῦτα

ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστρά-
φη. ἀντὶ τοῦ, ὀφθήσεται καὶ συναναστρα-
φήσεται. καὶ τὸ κς ἔκτισέ με ἀρχὴν ὁδῶν
αὐτοῦ, ἀντὶ τοῦ κτίσει με. τοῦτο γὰρ τινὲς μὲν
τῶν ἁγίων ἐπὶ τῆς κτισθείσης σαρκὸς τῷ θεῷ
λόγῳ ἐξέλαβον, καὶ τὸ εἰρημένον πρὸς δὲ
πάντων τῶν βουνῶν γεννᾷ με τῷ θεῷ λόγῳ
ὡς ἐκ τοῦ θεοῦ καὶ πρὸ πάντων αἰώνων ἀ-
παύστως γεννωμένῳ ἀνέθεσαν. τινὲς δὲ ἐπὶ
τῆς ἐμφαινομένης τῷ κόσμῳ σοφίας ἐξη-
γήσαντο, καὶ μάρτυς ὁ μέγας βασίλειος
ἐν ᾧ τῶν παροιμιῶν. οὗ τῆς περὶ τούτου
ῥήσεως κατὰ καιρὸν ἐμνήσθημεν. πρὸ τε-

ρον, τοῦτ

ρον· ταῦτα μὲν οὖν πρὸ τῆς ἑνώσεως αὐ-
τῷ ἁρμόζουσι, τὰ μὲν κατὰ τὴν θείαν φύ-
σιν· τὰ δὲ πρὸς φιλικὸν ὡς εἴπομεν, ὅτε
δὲ καθ' ἓν πρόσωπον ἥνωσεν ἑαυτῷ τὴν ἀν-
θρωπίνην φύσιν ἀσυγχύτως καὶ ἀτρέπτως.
καὶ ἦν ὁ αὐτὸς θεὸς ὁμοῦ καὶ ἄνθρωπος, καὶ διὰ
ταύτην τὴν ἄρρητον ἕνωσιν ἐπηγένετο τῇ
σαρκὶ τὸ ἐκ τοῦ πλούτου τῆς θεότητος μετασχεῖν,
τουτέστιν ἐθεώθη· ὡς καὶ τὸν θεολόγον γρηγό-
ριον περὶ τῆς σαρκὸς ταύτης λέγειν. καὶ θαρ-
ρῶ λέγειν ὁμόθεον· ἀντιδιδόασιν ἀλλήλαις
τῶν ὀνομάτων φύσεις, ὃν δὴ καὶ καλοῦσι
τρόπον ἀντιδόσεως· καὶ πολλὰ μὲν ἀπὸ τῶν ἰδ

κρείττονος τῆς σαρκὸς διὰ τὸν προσγινό-
μενον τῇ σαρκὶ πλοῦτον ἀπὸ τῆς συμφυΐ-
καὶ ἑνώσεως τῆς σαρκὸς πρὸς τὴν τοῦ θεοῦ
λόγου φύσιν. ποτὲ δὲ ἀπὸ τοῦ ἐλάττονος τῆς
σαρκὸς δηλονότι σάρκωσιν τοῦ λόγου φαμέν.
κένωσιν, ἐνανθρώπησιν, πτωχείαν. ταπείνωσιν.
ταῦτα πάντα ἐκ τοῦ ἀνθρωπίνου μέρους ἐπιλέ-
γονται τῷ λόγῳ καὶ θεῷ. οὐδὲν οὐδαμῶς
κατὰ τὴν ἑαυτοῦ φύσιν πεπονθότι. ποτὲ
δὲ καὶ ἐξ ἀμφοτέρων τὰ ὀνόματα συμπλε-
κόμενα. ἕνωσιν λέγοντες, κοινωνίαν. χρί-
σιν. συμφυΐαν, συμμόρφωσιν. ἅτινα
ἐπὶ τῆς σαρκὸς νοοῦνται, ἀλλὰ γὰρ καὶ ἡ ἑ-

νωθῆναι τῷ θεῷ λόγῳ καὶ χρισθῆναι καὶ
θεωθῆναι ὡς ἐλάττων καὶ ἐνδεής. ἡ γὰρ πε-
ριχώρησις τῆς θείας φύσεως εἰς τὴν σάρκα,
ἣν δὴ καὶ ἕνωσιν λέγομεν, ταύτην αὐτῇ
δέδωκε τὴν κοινωνίαν καὶ τὴν θέωσιν, καὶ
τὴν χρίσιν, καὶ συμμόρφωσιν ἀπὸ τῆς θείας
φύσεως περὶ τὴν σάρκα θεωρεῖσθαι. ταῦτα
μὲν οὖν ἐν τῇ ἑνώσει ἁρμόζουσι λέγεσθαι,
μετὰ δὲ τὴν ἕνωσιν ἁρμόζουσι μὲν καὶ ὅσα
πρότερον πρὸ τῆς ἑνώσεως. τὰ μὲν κατὰ
τὴν θείαν φύσιν. τὰ δὲ προφητικῶν ὡς εἴ-
πομεν περὶ αὐτοῦ εἴρηται. καὶ γὰρ οὐ με-
τεβλήθη ἡ θεία φύσις εἰς τὴν τῆς σαρκὸς τα-

πένωσιν. ἀγαθὰ καὶ μετὰ τὴν ἕνωσιν ὁ αὐ-
τὸς ὢν θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος. διὸ καὶ
δικαίως λεχθήσεται, ὅτι ὁ γεννηθεὶς ἐκ παρ-
θένου θεός ἐστι προαιώνιος δημιουργὸς τῆς
κτίσεως. τὰ δὲ μετὰ τὴν ἕνωσιν οὐδαμῶς
προσόντα καὶ πρὸ τῆς ἑνώσεως λέγεσθαι,
καὶ γὰρ πρὸ τοῦ σαρκωθῆναι οὐκ ἐλέχθη ἐκ
παρθένου. οὐδὲ τοῖς αὐτοῖς συνανεστράφη.
οὐδὲν οὖν τῶν μετὰ τὴν ἕνωσιν λέγεσθαι ἐπὶ
αὐτοῦ πρὸ τῆς ἑνώσεως προσόντα. εἰ μὴ
πη γε προφητικῶς ὡς ἔφημεν. ἁρμόσει τοί-
νυν μετὰ τὴν ἕνωσιν. τὰ μὲν, κατὰ τὴν θεί-
φυσιν. τὰ δέ, ἀπὸ τοῦ ἀνθρωπίνου μετέρχεται εἴληφε

μένα λέγεσθαι ἐπ' αὐτοῦ. οἷον ὁ ἐκ παρ-
θένου τόκος. ἡ καθ' ἡλικίαν αὔξησις παν-
τα. πλὴν τῶν διὰ τὴν ἁμαρτίαν ὕστερον
τῇ ἀνθρωπίνῃ φύσει ἐπισυμβάντων. ἐξ ὧν οὐ-
δενὶ τρόπῳ ἐκέχρ. ἐκ πνς ἁγίου συλληφ-
θείς. καὶ διὰ πάντων καθαρότατος πάσης
ἁμαρτίας μεμενηκώς. τὰ γοῦν αὐτοῦ τοῦ
σώματος ἐπὶ τοῦ Χριστοῦ λεγόμενα, οἷον ἐπεί-
νασεν. ἐδίψησεν. ἐκοπίασε, προσηύ-
ξατο. ἠγωνίασεν. ἃ δὴ τοῦ σώματος ἐστὶ
δήπουθεν φυσικὰ καὶ ἀδιάβλητα πά-
θη. οὕτω λέγονται, ὡς τῆς θείας φύσεως τού-
των οὐδὲν οὐδ' ὅλως πεπονθυίας. ἐπεὶ

ὁ υἱὸς τοῦ θεοῦ λεγόμενον ὅτι ἐπείνασε καὶ
ἠγωνίασε κατὰ τὸ ἀνθρώπινον δηλονότι, διὰ
τὴν ἀκροτάτην περιχώρησιν, καὶ ἕνωσιν
τῆς θείας φύσεως. ἀμιγῶς καὶ ἀσυγχύ-
τως πρὸς τὴν σάρκα. καθάπερ ψυχὴ πρὸς
τὸ σῶμα ἢ τὸ πῦρ πρὸς τὴν τοῦ σιδήρου φύ-
σιν ἀμιγῶς διήκεται. καὶ ἑαυτῶ ταῖς ὕ-
λαις μεταδίδωσι τῶν ἀσθενηματικῶς ἐπεί.
τῷ ἀνθρωπίνῳ μέρει τοίνυν ταῦτα ἀνήκουσιν ὅ-
σα ταπεινότερον λέγεται. ὥστε τὸ τί με ζητεῖτε
ἀποκτεῖναι, καὶ τὸ ἐρωτᾶν ποῦ τεθείκατε
λάζαρον. ὁ ὑπὸ τῶν συχνῶν δρόμος. τοῦ τα-
ναχωρεῖν. τὸ προσποιεῖσθαι πορρωτέρω πο-

ρύεσθαι. τὰ τοιαῦτα, εἰς τοῦτο δὲ ἀνήκει καὶ τὸ θεέ μου θεέ μου ἵνα τί με ἐγκατέλιπες· καὶ τὸ γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ τὸ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα. ταῦτα γὰρ κατ' οἰκείωσιν ἐξεῖπε τὸ ἡμέτερον οἰκειούμενος πρόσωπον. καὶ μεθ' ἡμῶν τάττων ἑαυτόν. ἡμεῖς μὲν γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι. καὶ ὑποταγῆς δεόμενοι ὡς ἁμαρτίας καὶ θανάτου ἔνοχοι, καὶ τοῖς τοῦ θεοῦ προστάγμασιν ἀπειθοῦντες. αὐτὸς δὲ οὐχ ἥμαρτεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. διατοῦτο οὔτε ὡς θεὸς ἐγκατελείφθη, εἰ γὰρ θεὸς ἐστὶ μετὰ τοῦ

πρ(ὸ)ς· οὐδ' αὖ ὡς αὐτὸς ἥμαρτε. διὸ οὐδὲ ἐγ-
κατελείφθη. οὐδ' ὑποταγῆς ἐδεήθη. ἀλλὰ
ταῦτα εἴρηκε. τὸ ἡμέτερον οἰκειούμενος
καθάπερ εἴρηται, περὶ αὐτοῦ γὰρ λέγεται ὁ
αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, καὶ αὐ-
τὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε. καὶ τὰς νόσους
ἐβάστασε. τὸ δὲ ὁ πατὴρ μείζων μου ἐστὶ τινὲς
μὲν τῶν ἁγίων κατὰ τὸ αἴτιον εἰρῆσθαι ἐξέ-
λαβον. οὐ μήν, καθὸ αἴτιος ὁ πατὴρ τοῦ υἱοῦ
τὸ μεῖζον αὐτῷ προσαρμόζεται. εἰ γὰρ κατὰ
τοῦτο διακριθήσεται καὶ ὁ υἱὸς τοῦ πατρὸς κατὰ
τὸ αἰτιατόν, ᾧ τὸ ἔλαττον ἀνήκει. καὶ οὕτως
ὁ πατὴρ τοῦ υἱοῦ τῷ μείζονι καὶ ἐλάττονι διὰ

κριθήσονται. ὅπερ ὡς πολέμιον τῆς κα-
θολικῆς πίστεως οὐκ εἴρηται πώποτε. φησὶ δὲ
καὶ ὁ μέγας Ἀθανάσιος, ἐν τῷ κατὰ Ἀ-
πολιναρίου. μείζονα τοῦ πατρὸς λέγει ἑαυ-
τοῦ καὶ υἱός. καὶ ἡμῶν τοῦ ἑαυτοῦ πατρός.
ὥσπερ οὕτω οὐ καὶ τῇ τιμῇ διακρίνοιτο
ὁ πατὴρ τοῦ υἱοῦ. οὕτως οὐδὲ κατὰ τὸ μεῖζον,
καθὸ ἐστὶν αἴτιος τοῦ ἑαυτοῦ υἱοῦ. ἀλλ᾽ ἔστι
μείζων ὡς ἁπλῶς αἴτιος καὶ ἀρχή. καὶ ὥσ-
περ ἀρχὴ λέγεται ὁ πατὴρ τοῦ υἱοῦ οὐκ
ἀποδίδοται δὲ ταύτῃ τῇ ἀρχῇ καὶ τελειω-
τής. καὶ ὥσπερ ὁ μέγας Βασίλειος πρὸς κα-
ταρχικὴν αἰτίαν εἴρηκε τοῦ πατρός. ἢ καὶ

ὡς ὁ θεολόγος γρηγόριος ἐπὶ τὴν πρώτην
αἰτίαν ἀνενεγκεῖν· καὶ οὐκ ἀποδίδοται
ταύτῃ τῇ αἰτίᾳ· καὶ δεικτέα τίς καὶ ὑπε-
ρέχουσα αἰτία. οὕτω γὰρ δύο ἀρχαὶ τῆς κτί-
σεως ἀναφανήσονται. τὸ ὅμοιον ἄτοπον
καὶ τὸ μεῖζον ἐπὶ τοῦ πρὸς κατὰ τὸ αἴτιον,
ὡς ἔφασαν τινὲς τῶν ἁγίων, αἰτίαν. ἐκληπ-
τέον ὡς αἰτίαν καθ' ἑαυτὴν καὶ οὐ πρὸς ἕ-
τερόν τι λεγομένην εἰ δὲ καὶ ὁ υἱὸς ὡς ἐλάτ-
των πρὸς τὸν μείζονα ἑαυτοῦ ἀποδοθήσεται.
ὅπερ ἄτοπον. τινὲς δὲ τῶν ἁγίων κατὰ τὸ
αἴτιον ἐξηγήσαντο καὶ ὁ θεῖος χρυσόστομος
φησὶ ταῦτα πάντα πρὸς τὴν ἀσθένειαν τῶν

μαθητῶν εἴρηκεν. ἔστι τοίνυν λέγειν ὅτι
πρὸς τὴν τῶν μαθητῶν ὑπόληψιν τοῦτο εἰρη-
κὼς ὁ Χριστός. ὅτι δὴ μείζω τοῦ πατρὸς ἠγνόουν τοῦτο ὡς
αἴτιον ἁπλῶς, καὶ οὐ πρὸς τὴν ἑαυτοῦ
φύσιν ἀφορῶν καὶ ὑπόστασιν, ὥσπερ καὶ
πρὸς τὸν εἰπόντα διδάσκαλε ἀγαθέ· οὐδείς
ἀγαθὸς εἴρηκεν εἰ μὴ μόνος ὁ θεός· καὶ πρὸ
τοὺς ἐπερωτήσαντας μαθητάς, περὶ τῆς ἡ-
μέρας, καὶ ὥρας καὶ τῆς συντελείας, οὐδεὶς
οἶδε φησὶν οὐδὲ ὁ υἱός. μόνος δὲ ὁ πατήρ.
οὕτω γὰρ ἐκεῖνοι ἐνενόουν καὶ ταῦτα ἐνόμιζον, καὶ
πρὸς τὴν αὐτῶν διάνοιαν αὐτοῖς συγκατα-
βαίνων ἐφθέγγετο. ἔτι οὕτω καὶ περὶ

αὐτοῦ καθαρῶς ἠπίστατο καὶ πολλὰ τοι-
αῦτα εὕρηται καὶ ἀλλαχοῦ σχηματιζόμε-
να τῇ γραφῇ· ὥσπερ τὸ γέγονεν ἀδὰμ ὡς
εἷς ἐξ ἡμῶν· οὕτω γὰρ ἐκεῖνος ὑπέλαβε δεῖ γενή-
σεσθαι· τῇ δ' ἀληθείᾳ οὐκ ἐγένετο. ὁ δὲ μέ-
γας βασίλειος, τό, οὐδεὶς ἀγαθός· εἰ μὴ εἷς
ὁ θεός· λαμβάνει μὲν καὶ αὐτὸς κατὰ τὸ ἀν-
θρώπινον. πολλὰ γάρ φησι καὶ ἀπὸ τοῦ
ἀνθρωπίνου μέρους ὁ κύριος διαλέγεται, λαμβάνει
δὲ καὶ κατὰ τὴν θείαν φύσιν. καὶ γὰρ ἐν μιᾷ
τῶν πρὸς ἀμφιλόχιον ἐπιστολῶν, οὕτω φησίν.
οὐκ ἔξω ἑαυτοῦ κινεῖ τῆς τοῦ ἀγαθοῦ φύσεως
ὁ υἱὸς ταῦτα λέγων· ἀλλ' ἐπειδὴ πρώτως ἀγα-

θῶν ὁ πατὴρ τὸ οὐδεὶς ζῶν ὑπακουομένου τοῦ πρώτως εἰρῆσθαι πιστεύομεν, καὶ τὸ οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· οὐδὲ γὰρ ἐκεῖ ἄγνοιαν τοῦ πατρὸς κατηγορεῖ· οὕτω δὲ καὶ τὸ οὐδεὶς οἶδε τὴν ὥραν καὶ ἡμέραν. τὴν πρώτην εἴδησιν τῶν τε ὄντων καὶ τῶν ἐσομένων ἐπὶ τοῦ πατρὸς ἀνάγοντος. καὶ διὰ πάντων τὴν πρώτην αἰτίαν τοῖς αὐτοῖς ἀποδεικνύντος εἰρῆσθαι νομίζομεν. καὶ ἔτι πάλιν ἐν τῇ αὐτῇ, τὴν μὲν τοῦ ματθαίου ῥῆσιν περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατὴρ μόνος, ταύτης τῆς ἐξηγήσεως

ἀξιοῖ. ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ἀγγέλων
εἴρηκεν. ἑαυτὸν δὲ οὐ συμπεριέλαβε τοῖς
ἑαυτοῦ δούλοις κατὰ τὴν ἄγνοιαν, παρα-
σιωπήσας τοίνυν ὡς ὁμολογούμενον τὸ ἑαυ-
τοῦ πρόσωπον ἐν τῇ λέξει τοῦ ματθαίου
ὁ κύριος, τοὺς ἀγγέλους εἶπεν ἀγνοεῖν. εἰδέναι
δὲ τὸν πατέρα μόνον τὴν καὶ τοῦ πατρὸς γνῶσιν κατὰ
τὸ σιωπώμενον καὶ ἑαυτὸν εἶναι λέγων, αὐ-
τὸς γὰρ εἶπε. πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι
καὶ καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω
τὸν πατέρα. τὴν δὲ τοῦ μάρκου ῥῆσιν. περὶ
δὲ τῆς ἡμέρας ἐκείνης ἢ ὥρας οὐδεὶς οἶδεν
οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ ὁ υἱὸς εἰ

μὴ ὁ πατήρ, οὕτως ἐξηγεῖται. ὅτι οὐδεὶς
οἶδεν οὔτε οἱ ἄγγελοι τοῦ θεοῦ ἀλλ' οὐδ' αὐτὸς
ὁ υἱὸς ἔγνω εἰ μὴ ὁ πατήρ. τουτέστιν ἡ αἰτία
τοῦ εἰδέναι τὸν υἱὸν παρὰ τοῦ πατρός. ἐπειδὴ
γὰρ ἐξ αὐτοῦ γεννᾶται. καὶ ὁμοούσιος αὐτῷ
ἐστι, τὴν αὐτὴν οὐσίαν τῷ πατρὶ καὶ γνῶσιν
ἔχει. καὶ ἐπειδή φησιν ὁ θεῖος κύριλλος. τὸ σύμ-
παν τοῦ υἱοῦ ἐκ τῆς τοῦ πατρὸς οὐσίας πρό-
εισιν, οὐδ' αὐτὸς ὁ υἱὸς οἶδε τὴν γνῶσιν τῶν ὄντων
εἰ μὴ ὁ πατήρ. ταῦτα μὲν οὕτως. τὸ δὲ πάτερ
δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν
κόσμον εἶναι παρὰ σοί, διὰ τὴν πρὸς ἡμᾶς
φανέρωσίν τε καὶ πίστωσιν εἴρηται. καὶ

ε λ.

γάρ, ὥς φησιν ὁ δαμασκηνός. αὐτὸς μὲν γὰρ
δεδοξασμένος ἦν τε καὶ ἐστίν. αὐτὴ ἡ μὲν οὐκ
ἦν φανερωθεῖσα καὶ πιστωθεῖσα ἡ δόξα αὐ-
τοῦ. κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον.
τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ
πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως καὶ τῆς ἐπι-
φοιτήσεως τοῦ ἁγίου πνεύματος· ἐφανερώθη
τῷ κόσμῳ ὅτι υἱός ἐστι τοῦ θεοῦ, ἀνήκρυς
τῷ θείῳ βασιλεῖ τῷ κατὰ χειμῶν, ὅς φησιν ἀ-
πὸ τῆς θαλάσσης καὶ τῶν ἀνέμων ὑπακου-
όντων αὐτῷ ἐγνώριζεν αὐτοῦ τὴν θεότητα,
καὶ γὰρ ἡ δόξα ἡ φυσικὴ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦτ'
ἐστὶ τὸ γεννᾶσθαι ἐκ πατρὸς ἀϊδίως καὶ ἀνάρ-

χως. ὥσπερ οὖν ἐάν τις αὐτὸν εἰς κτίσμα
καταγάγῃ ὅσον τὸ ἐπ' αὐτῷ τὴν δόξαν τοῦ θεοῦ
λόγου καθαιρεῖ, οὕτω καὶ κατὰ τὸ ἀκόλου-
θον ὁ ζῶν ἀΐδιον καὶ ὁμότιμον καὶ ὁμοού-
σιον ὁμολογῶν τῷ θεῷ καὶ πατρὶ δοξάζει αὐ-
τὸν τῇ δόξῃ ἣν εἶχε πρὸ πάντων τῶν αἰώνων.
εἰσὶ δὲ καὶ τινα ἐπὶ χριστοῦ λεγόμενα κατὰ τὴν
ἐπὶ νοῦν διαίρεσιν. ἂν γὰρ τῇ διανοίᾳ
διέλωμεν τὴν φύσιν τοῦ θεοῦ λόγου καὶ
τὴν σάρκα, ἅτινα ἀνέργητα εἰσὶ ἀχώρι-
στα. λέγεται δοῦλος καὶ ἀγνοῶν. καὶ γὰρ
τῆς φύσεως τῆς δούλης καὶ ἀγνοούσης ἦν
τὸ προσληφθέν. καὶ εἰ μὴ ἡνώθη τῷ θεῷ

λέγω ἡ σάρξ. δούλη ἐστὶ καὶ ἀγνοοῦσα. ἀλλὰ
διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν. οὔτε δούλη
ἐστὶ οὔτε ἠγνόει κατὰ τὴν ἀνθρωπίνην ἀσθένειαν.
κατὰ τοῦ τρόπου τοῦτον καὶ θεὸν αὐτοῦ τὸν
πατέρα ἐκάλεσε. πολλῶν τοίνυν ὀνομάτων
ἐπὶ τοῦ Χριστοῦ κατὰ διαφόρους τρόπους εἰρημέ-
νων. ἀλλὰ ὑψηλότερα διδόναι τῇ θείᾳ φύ-
σει. τὰ δὲ ταπεινότερα τῇ ἀνθρωπίνῃ. τὰ δὲ κοινὰ
τῷ συνθέτῳ· ἤγουν τῷ ἑνὶ Χριστῷ ὅς ἐστι θεὸς καὶ
ἄνθρωπος καὶ τὰ κοινὰ ταῦτα καὶ ἀμφότερα
ὀφείλομεν γινώσκειν εἶναι τοῦ ἑνὸς Χριστοῦ. καὶ
πάντα τὰ γινόμενα παρ' αὐτοῦ ὡς ἐκ μιᾶς
ὑποστάσεως. ἑκάστου ἔργου ἀναφερομέ-

νου ἐστὶ τὸ ἑαυτοῦ οἰκεῖον. τουτέστι τὸ μὲν
θεῖον ἔργον ἀναφέρει τῇ τῆς θεότητος φύ-
σει. τὸ δὲ ἀνθρώπινον τῇ ἀνθρωπίνῃ. ἄλλο δὲ θεῖον ἔρ-
γον. ἄλλο δὲ ἀνθρώπινον. καὶ οὕτω πιστεύοντες
οὐ πλανηθησόμεθα, ἐξ ὧν ἁπάντων, τῶν
μὲν ἑνωθεισῶν φύσεων ἡ διαφορὰ γινώ-
σκεται, καὶ ὥς φασὶν οἱ ἅγιοι, καὶ μάλιστα
ὁ θεσπέσιος κύριλλος. οὐ ταὐτὸν ἐν ποιότητι
φυσικῇ θεότης καὶ ἀνθρωπότης. εἷς γε μὴν υἱὸς,
καὶ χριστὸς, καὶ κύριος, ἑνὸς ὄντος αὐτοῦ καὶ τὸ
πρόσωπον, καὶ οὐδένα τρόπον διὰ τὴν
ἐπίγνωσιν τῆς φυσικῆς διαφορᾶς μεριζο-
μένης τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως. ταύτης

δὲ τῆς σαρκώσεως ὁμολογοῦμεν, ὅτι καὶ
οὐδένα τρόπον ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον
κεκοινώνηκεν, εἰ μὴ κατ᾽ εὐδοκίαν καὶ
θέλησιν μόνον. ὅταν δὲ κατ᾽ εὐδοκίαν καὶ
θέλησιν λέγωμεν, οὐ χωρίζομεν τὸν υἱὸν τῆς
εὐδοκίας ταύτης καὶ τῆς ἀγαθῆς πρὸς ἡμᾶς
θελήσεως. εἷς γὰρ θεός ἐστι μετὰ τοῦ πατρὸς καὶ
τοῦ πνεύματος. καὶ μία φύσις καὶ ἄτρεπτος. ὅθεν
ἢ καὶ λέγομεν ὅτι ἐν τῷ κόσμῳ ἦν. διὰ τὴν
τῆς σαρκὸς πρόσληψιν. καὶ τὸ διὰ ταύτης
αὐτὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμᾶς ἐπιγνῶναι,
ἄλλου δέ ποτε τοῦ πατρὸς αὐτοῦ. ἀλλὰ καὶ γεννώ-
μενος ἐκ παρθένου, καὶ βαδίζων ἐν γῇ, καὶ

πάντα παρέχων ὡς αὐτός, ἀχωρίστως τῷ
θεῷ καὶ πατρὶ ἐξ οὗ ἀϊδίως γεννᾶται συνών·
καὶ τῷ θείῳ πνεύματι. οὐ γὰρ ἦν ποτε θεὸς ἄλογος,
μνημονευτέον γὰρ ὡς οὐκ ἔπρεπεν εἰπεῖν
ποτὲ ἢ υἱὸν πατρὸς ἢ πνεῦμα υἱοῦ· καὶ ὡς οὐκ ἐστὶ
δυνατὸν ἐπὶ τῆς ἁγίας τριάδος τομὴν ἢ δι-
αίρεσιν ἐπινοηθῆναι· ὡς ἢ υἱὸν χωρὶς πατρὸς
νοηθῆναι, ἢ τὸ πνεῦμα τοῦ υἱοῦ διαζευχθῆναι. ἅ-
περ ὁ θεολόγος γρηγόριος καὶ ὁ θεῖος βα-
σίλειος φασίν· οἷς καὶ ὁ δαμασκηνὸς ἑπό-
μενος. διὰ δὲ τοῦ λόγον καὶ πνεῦμα ἔχειν δι-
δάσκει, ἐπεὶ δὲ λέγομεν ὅτι μία μὲν ἐστὶν οὐ-
σία ὁ θεὸς ἡ τριὰς καὶ ἐστι. καὶ ὁ πατὴρ τέλειος

θεοῦ· καὶ ὁ υἱὸς ὡσαύτως· καὶ τὸ πνεῦμα τὸ ἅ-
γιον, διὰ τοῦτο φαμὲν καὶ τὸν ἅγιον διο-
νύσιον καὶ τοὺς ἄλλους ἅπαντας ἁγίους, ὡς
ὅλη ἡ θεία οὐσία ἐσαρκώθη ἐν μιᾷ τῶν αὐ-
τῆς ὑποστάσεων, καὶ γὰρ ὁ θεῖος παῦλος φη-
σίν, ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα
τῆς θεότητος σωματικῶς, τουτέστιν ἐν τῇ σαρ-
κὶ αὐτοῦ. οἱ δὲ ταῦτα λέγοντες ἅγιοι τὸν ὅ-
μοιον τρόπον φασίν, ὅτι ἡ τοῦ θεοῦ λόγου ὑ-
πόστασις, ὅλῃ τῇ ἀνθρωπίνῃ φύσει ἡνώθη ἐν μιᾷ
ὑποστάσει, ἐπεὶ καὶ ἐφ' ἡμῶν ὅλη ἀνθρωπίνη φύ-
σις ἐν ἑκάστῳ τελεία ἐστὶ πᾶσα ἀτομικῶς
ἐστιν, καὶ γὰρ οὐδὲν ἐνέλιπεν ἀγαθὸν τοῦ

τελείου αὐτοῦ πάντα ἀνέλαβε· σῶμα, ψυ-
χὴν νοερὰν καὶ λογικήν· καὶ τὰ τούτων
ἀδιάβλητα ἰδιώματα. τὸ γὰρ ἑνὸς τούτων
λειπόμενον, οὐκ ἔστιν ἄνθρωπος. ὅλον τοίνυν
ἀνέλαβε τὸν ἄνθρωπον, ἵνα σωτηρίαν ὅλῳ τῷ πα-
θόντι χαρίσηται. τὸ γὰρ ἀπρόσληπτον, ἀθε-
ράπευτον. ἁμαρτίας δέ, ἢ τῆς κατὰ νοῦν,
ἢ τῆς κατ᾽ ἐνέργειαν, οὐδαμῆ κεκοινώνη-
κεν. κατὰ νοῦν δὲ ἐστὶν ἁμαρτία ὅταν τις
συνθῆται τὸ πονηρὸν ποιῆσαι. κατ᾽ ἐνέρ-
γειαν δέ, ὅταν καὶ ἔργοις αὐτὸ τελειώσῃ. τού-
των μὲν οὐδέν. τὰ δὲ τῆς φύσεως ἀδια-
βλητα πάντα ἔσχεν. οἷον πεῖναν, τὸ δί-

φαν, τὴν δειλίαν τὸν πόνον τὴν ἀγωνίαν, τὴν

τοῦ θανάτου παραίτησιν. ἃ τοῖς ἀνθρώποις φυ-

σικῶς ἐνυπάρχουσιν, καὶ τὴν φθορὰν τοῦτ

ὑπέστη, τῆς δὲ κατὰ τὴν ἀκρίβειαν ἢ τῆς

μετὰ θάνατον τοῦ σώματος, διαλύσεως φθο-

ρᾶς, οὐδαμῶς. ὅθεν κατὰ τὸ ἑρμηνευθὲν ἀπα-

θῆ, φθαρτὸν τὸ τοῦ κυρίου λεγόμενον σῶμα, ἐφό-

σον δηλονότι ζωὴν ἀναστρεφόμενος μεθ' ἡμῶν

οὐχ ὡμίλησε τῷ θανάτῳ. ἄφθαρτον δὲ μετὰ

τὴν ἀνάστασιν, οὔτε τῶν ὑπὲρ τῶν δούλων τὸ

σῶμα, καὶ ὧν πρότερον προσεδέχετο δεόμε-

νον, οὔτε τινὰ διάλυσιν καὶ φθορὰν ὑπομέ-

νον, οὐδέποτε. ὃ δὲ καὶ τροφῆς μετὰ τὴν

ἀνάστασιν

ἀνάστασιν ἢ ἄλλο· ἀλλ' ἄρα τὴν κατὰ φυ-
σικὸν λόγον οὐκ ἴσμεν· διό περὶ θεῷ, καὶ
ὡς αὐτὸς οἶδε ταύτην ἀνακεῖσθαι λέγομεν·
διὰ δὲ ταύτης τῆς ἀναστάσεως πιστῶσαι οἰκονο-
μικῶς ἐγεγόνει, ὥσπερ καὶ τὸ χερσὶν ἀνθρωπί-
ναις ψηλαφηθῆναι, καίτοι τοῦτο πρὸς τὸ κε-
κλεισμένων τῶν θυρῶν εἰσελθεῖν, ἐναντιότη-
τα ἔχει. καὶ γὰρ τὸ ψηλαφηθῆναι δυνάμε-
νον καὶ φθείρεσθαι ἀναγκαῖον, καὶ τὸ ἄφ-
θαρτον ψηλαφηθῆναι ἀδύνατον. πάντως
δὲ ἄφθαρτον τὸ ἑαυτοῦ σῶμα τῶν κεκλεισ-
μένων τῶν θυρῶν εἰσελθόν. ἀλλ' ὥσπερ αὐτὸς
γεννηθεὶς παρθένον τὴν τεκοῦσαν ἐφύλαξε.

Καὶ δύο ταῦτα ὥσπερ τὴν ἐκ παρθενίαν καὶ τόκον,
τὰ αὐτοῖς ἀδιώαστα, οὕτω καὶ ταῦτα ξέ-
νον τινὰ καὶ ἀδιανόητον τρόπον ὁ σωτὴρ
ἡμῶν. Καὶ ἄφθαρτον μετὰ τὴν ἀνάστα-
σιν καὶ ψηλαφητὸν τὸ ἑαυτοῦ ἔδειξε· ἵνα
διαμένοντος τὸν ἄφθαρτον δόξαι. ἐπὶ τοὺς πνι-
κοὺς ἀγῶνας καὶ τὰ ἄθλα τοῖς πιστοῖς
προκαλέσηται. διὰ δὲ τοῦ ψηλαφητὸν αὐ-
τὸ παρασχεῖν πρὸς τὴν πίστιν ἡμᾶς βεβαιώ-
σῃ. ἵνα τοίνυν τῆς αὐτῆς οὖν ἡμῖν φύσεως
καὶ δόξης ἑτέρας τὸ ἑαυτοῦ σῶμα δείξῃ, καὶ
ψηλαφητὸν καὶ ἄφθαρτον ἔδειξεν ἑαυτόν.
ἕως μὲν οὖν, καθάπερ εἴπομεν, ἐν τῷ

κόσμῳ διέτριβεν, καὶ θανάτῳ καὶ τοῖς ἀ-
ρημένοις αὐτοῖς ἅπασι τοῖς φυσικοῖς καὶ
ἀδιαβλήτοις ὑπέκειτο πάθεσιν, ὅτι
τέλειον ἀνείληφεν ἄνθρωπον. ἐν οἷς καὶ ὡς ἄν-
θρωπος ἠγωνίζετο. Καὶ ἔδειξε πῶς ταῦτα
καὶ ἐν ἡμῖν οἰκονομεῖσθαι, καὶ μὴ ἀλόγως
ὑπὸ τούτων τὴν ἡμετέραν κατεξουσιάζε-
σθαι φύσιν. καὶ γὰρ ὡς μὲν αὐτὸς εἶχε τὸ ἀνθρώπι-
νον θέλημα· ὑπετάσσετο δὲ τῷ θείῳ θελήματι
τῆς ἑαυτοῦ θεότητος, καὶ οὐκ ἐκινεῖτο
ὑπεναντίως. ἀλλ᾽ ἅ ταῦτα καὶ ὡς αὐτὸς ἤθελε
καὶ ἐποίει. ὅπερ δηλονότι καὶ τὸ θεῖον αὐ-
τοῦ θέλημα, συγχωρούσης μὲν γὰρ τῆς θείας

φύσεως, κατὰ καιρὸν ἔπασχε, τὰ ἴδια τῆς
ἀνθρωπίνης φύσεως ἀδιάβλητα πάθη. ὡς καὶ
τὸ τὸν ἑκούσιον προελέσθαι θάνατον, συγ-
χωρούσης δὲ πάλιν τὸν αὐτὸν παρῃτήσατο.
αὐτὸς γάρ φησιν, ἐξουσίαν ἔχω θεῖναι τὴν
ψυχήν μου καὶ πάλιν λαβεῖν αὐτήν· καὶ
οὔπω ἐλήλυθεν ἡ ὥρα μου. ἐφ' ἡμῶν δὲ
οὐχ οὕτω συμβαίνει· ἀλλὰ διὰ τὴν τοῦ αὐτε-
ξουσίου ῥοπήν, πολλάκις φαύλης ἡδο-
νῆς ἕνεκα ἀπατώμενοι, τὸ τῆς σαρκὸς προ-
αιρούμεθα θέλημα, ὅπερ ἐστὶν ἐναντίον
τῷ θελήματι τοῦ θεοῦ. καὶ τῇ τῆς ψυχῆς τελειό-
τητι· περὶ τούτου γὰρ γέγραπται. ἡ σὰρξ ἐπιθυμεῖ

κατὰ τοῦ πυρός· ὥσπερ κατὰ τῆς σαρκός.
ἐκ τούτων δὲ λύεται. Καὶ τίνος ἕνεκα μὴ
πρότερον τῶν τριάκοντα χρόνων ἤρξατο
σημεῖα ποιεῖν. ἐπειδὴ διὰ πάντων ὁμολο-
γεῖται ὅτι θεὸς ὤν, τέλειος ἐγένετο ἄνθρωπος χω-
ρὶς ἁμαρτίας, φανερὸν ὅτι ὡς μὲν θεὸς ἐ-
δύνατο καὶ παιδικὴν ἡλικίαν κατὰ τὸ
ἀνθρώπινον ἔχων ταῦτα τὰ σημεῖα ποιεῖν· εἰ γὰρ
καὶ φησὶν ὁ εὐαγγελιστής, Ἰησοῦς δὲ προέκοπτε
σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι, οὐ νοητέον
ὅτι κατ' ὀλίγον ηὐξάνετο καὶ ἀπὸ τοῦ σωμά-
τος εἰς ἐνέργειαν ἐντελεστέραν ὡς οἱ ἄνθρωποι
περὶ τὴν γῆν τοῦ ἀπ' ἀρχῆς τελειούμενοι·

ἀντελειότερον· ἀλλ' ὅτι κατὰ τὸ ἀνθρώπινον
ὥρα καὶ χάριτι ἐπέλαμπε τῷ τούτου
προσώπῳ, καὶ ὅτι κατὰ μικρόν, διὰ τῶν
ταῖς ἡλικίαις ἀναλογουσῶν ἐνεργειῶν ἡ
τούτου παρεγυμνοῦτο θεότης ὡς Γρηγόριος
ὁ θεολόγος φησίν. ἐπειδὴ γὰρ ἡ τελειότης τῆς
ἀνθρωπίνης ἡλικίας καὶ γνώσεως ἐν τούτῳ τῷ
χρόνῳ μάλιστα τελειοῦται, διὰ τοῦτο καὶ
αὐτὸς ἄνθρωπος γεγονώς, ὥσπερ τὰ ἄλλα ἀνεδέ-
ξατο πάντα, καὶ γὰρ καὶ περιετμήθη. καὶ
τῷ ναῷ προσηνέχθη κατὰ τὸν νόμον, αὐτὸς
γάρ φησιν, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον
ἀλλὰ πληρῶσαι· ἵνα μὴ ἀντίθεος δόξῃ. δι-

δηλοῦν ὅτι κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ
σημεῖα προέλεγε προφήτην. οὕτως καὶ
προσηκόντως τῇ ἀρχῇ τῆς ἡλικίας τῆς ἀνθρωπί-
νης φύσεως καὶ τελειότητι. ἵνα καὶ ἡμᾶς
διδάξῃ μὴ ἐπιθετικοὺς εἶναι. καὶ τὴν νι-
κᾶν τῶν παθῶν ἀκμαζόντων πρὸς τοὺς
ἀγῶνας καὶ τοὺς πειρασμοὺς ἀποδύεσθαι.
ἐπεὶ καὶ αὐτὸς τότε κατὰ τῶν παθῶν ἠγω-
νίζετο. ἤχθη γὰρ φησὶν ὁ Ἰησοῦς εἰς τὴν ἔρημον
ὑπὸ τοῦ πνεύματος ἵνα πειρασθῇ ὑπὸ τοῦ δια-
βόλου. καὶ ἵνα μὴ δόξῃ κατὰ φαντασίαν
ἀνειληφέναι τὸν ἄνθρωπον. εἰ γὰρ καὶ τούτου
γενομένου πάλιν τινὲς ἐτόλμησαν τοῦτο

εἶπεν, ἃ μηδὲ τὸ καθόλου ὡς ᾠκονομοῦντο.
τί οὐκ ἂν εἴποι. καίτοι καὶ πρὸ τούτου
διὰ τίνων ἀμυδρῶς ἑαυτὸν ὑπέφαινεν.
ὁ γὰρ ἐν τῷ σπηλαίῳ ἀστὴρ, καὶ οἱ ἄγγελοι καὶ
οἱ μάγοι. καὶ τὸ τοῦ ἱεροῦ μέσον ἀναγι-
νώσκειν. καὶ τινὰς τῶν γραμματέων
ἐπιστομίζειν γράμματα μὴ μεμαθηκότα
ἃ καὶ οἱ πιστεύοντες οὐ συνίεσαν. ἀλλὰ ταῦτα
θεὸν αὐτὸν ὑπεδείκνυεν. ὅμως τὸ συνεχῶς
περὶ πολλῶν ἔμπροσθεν δημηγορεῖν καὶ
διδάσκειν μαθητὰς ἐπαγόμενον καὶ ποι-
κίλα θαύματα ἐνεργοῦντα, διδασκαλίας
ἀξίωμα περιβαλλόμενον, τοῦτο πῶς οὐ προσή-

κὸν τῇ τῶν ἀνθρώπων παιδικῇ ἡλικίᾳ πρότε-
ρον πληρωθῆναι· ἵνα μὴ δόξῃ κατὰ φαντα-
σίαν ἅπαντα πρᾶξαι, καθάπερ εἴπο-
μεν. ἀγῶσι τε καθά φησιν ὁ θεολόγος γρη-
γόριος ἐν τῷ εἰς τὰ φῶτα λόγῳ. ἐπεὶ ἀπέ-
κειτο τὸν θεῖον θάνατον ὑπομεῖναι, πάντα
συνδραμεῖν ἔδει πρὸς τὸ πάθος. ὅθεν τοῦ
πάθους, τὴν ἀνάδειξιν, τὸ βάπτισμα, τὴν
ἄνωθεν μαρτυρίαν, τὸ κήρυγμα, τὴν συν-
δρομὴν τοῦ πάθους, τὰ θαύματα, καὶ ὥσ-
περ ἓν σῶμα γίνεσθαι μὴ διεσπασμένον,
μηδὲ ἀπερρηγμένον τοῖς διαστήμασιν, ἐκ
μὲν γὰρ τοῦ βαπτίσματος καὶ τοῦ κηρύγ-

ματος. ὅλων συμβεχόντων σεισμός· οὕτω γὰρ ἡ γραφὴ καλεῖ τὸν καιρὸν ἐκεῖνον. ἐκ δὲ τοῦ πλήθους, ἡ τῶν σημείων ἐπίδειξις. καὶ τὰ θαύματα τῷ διαρρηξίᾳ προσάγοντα. ἐκ δὲ τούτων ὁ φθόνος. ἐκ δὲ τούτου τὸ μῖσος. ἐκ δὲ τοῦ μίσους, τὰ τῆς ἐπιβουλῆς καὶ τῆς προδοσίας. ἐκ δὲ τούτου ὁ σταυρός. καὶ ὅσοις σεσώσμεθα. ἀναλαβὼν τοίνυν τὴν ἀνθρωπίνην φύσιν. καὶ ὡς ἄνθρωπος διὰ πάντων ἀγωνισάμενος, καὶ νικήσας μᾶλλον ἂν ἢ πταίσας, ἐν οὐδενὶ δὲ ἡττηθείς, καὶ πολλὰ παθὼν ὅσα ἡμᾶς ἔδει παθεῖν ὡς οἰκείᾳ γνώμῃ ἁμαρτόντας καὶ ἀποτελεσθέντας θεῷ, τέλος ἀπο-

θανὼν, καὶ ταφείς, ὑπερέσχε τοῦ διὰ τὴν
ἁμαρτίαν τῆς ἀνθρωπίνης φύσεως κατεξουσιά-
σαντος, καὶ καταδικάσαντος αὐτόν, ἠλευθέρω-
σεν ἡμᾶς τῆς δουλείας ἐκείνου, τῷ ἑαυτοῦ
σταυρῷ τε καὶ τῷ θανάτῳ. εἰ γὰρ διὰ τὴν ἁμαρ-
τίαν τοῦ πρώτου ἀδάμ καθάπερ τινὰ λύ-
μην μέχρις ἡμῶν διαδοθεῖσαν, ὑπεπέσα-
μεν τῷ θανάτῳ κατακριθέντες, πῶς οὐ
μᾶλλον δικαιωθησόμεθα διὰ τοῦ θανάτου
τοῦ υἱοῦ θεοῦ. τοῦ τὸν παλαιὸν ἀδάμ ἀνα-
μαρτήτως ἀναλαβόντος, καὶ νέου ἀδάμ
χρηματίσαντος, ἐπείπερ, ὅ φησι παῦλος, τὸ
κατάκριμα τῆς ἁμαρτίας, ἔλυσεν ἐν τῇ σαρ-

κὶ αὐτοῦ, τοῦ θανάτου θανατωθέντος. καὶ
ἐπεὶ διὰ τὸν παλαιὸν ἐκεῖνον ἐχθρὸν καὶ ἀπο-
στάται γεγενήμεθα τοῦ θεοῦ, πῶς οὐ δι'
αὐτόν, καὶ προσαχθησόμεθα, καὶ οἰκειω-
θησόμεθα τῷ θεῷ. καὶ γὰρ ὁ μὲν διάβολος
τῆς τοῦ θεοῦ δόξης ἐκπεπτωκώς, διὰ τὴν ὑπε-
ρηφανίαν αὐτοῦ, ψυχικὸν ὑπέμεινε θάνα-
τον. ἐπεὶ τὸ ἀποστῆναι θεοῦ τὴν ψυχὴν ψυχικὸν ὁ-
ρίζονται θάνατον. σωματικὸν δὲ θάνατον.
ὅ ἐστι τῆς ψυχῆς ἀπὸ τοῦ σώματος χωρισ-
μός, οὐ πέπονθεν. ἐπείπερ ἀσώματός ἐστιν.
οὐ φέρων δὲ ἑαυτὸν ὁ ἐπὶ τῆς προτέρας
ἐκπεπτωκότα ἡμᾶς. τὸν δὲ ἄνθρωπον τῆς τοῦ

τοῦ δόξης ἠξιωμένον, ἐφθόνησεν ἡμῖν τῆς
παρὰ τῷ θεῷ πλησιότητος, καὶ δελεάσας,
ἀφείλκυσε τοῦ ὄντος θεοῦ προσαγομένων, καὶ
τὴν ἁμαρτίαν ἐσπείρηκεν. οὕτω τοίνυν δι-
πλοῦν ἡμῖν ἐποίησε θάνατον, πρῶτον
μὲν τὸν ψυχικὸν, διὰ τῆς παρακοῆς. εἶτα
καὶ τὸν σωματικὸν τὸν τοῖς ἁμαρτήμασιν
ἐπαγόμενον, θάνατον γάρ φησιν ὁ θεὸς οὐκ ἐ-
ποίησεν. οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζών-
των καὶ γὰρ ὁ θάνατος ἁμαρτίας ἐστὶ κα-
τὰ δίκην. διὸ καὶ ἡμῖν θνητὸν σῶμα περι-
κειμένοις ἐπήγετο μέσοι γὰρ θνητότητός τε
καὶ ἀθανασίας ἐπλάσθημεν. ἦν δ' ἡ μὲν

ἐν τῷ καλῷ διαμείνοιμεν· ἀθανασίας κλη-
ρονομήσωμεν. ἢ δὲ τὸ κακὸν ἀγαπή-
σωμεν, τὸν θάνατον ὑπομείνωμεν. αὐτε-
ξούσιοι γὰρ γεγονότες, οὐδεμίαν ἀπὸ τῶν
ἔξωθεν ἢ πρὸς ἀρετὴν ἢ πρὸς κακίαν ἀ-
νάγκην ἔχομεν. ὅθεν καὶ δικαίως ἄξιοι
κολάσεως καὶ ἐπαίνων ἐσμέν. αὐτὴν
ἀρχὴν τῆς κινήσεως οἴκοθεν κεκτημένοι,
ὅ τι ἂν καὶ προαιρώμεθα πράττειν. ὁ τοίνυν
υἱὸς τοῦ θεοῦ γενόμενος ἄνθρωπος. ψυχικὸν μὲν
οὐκ ἐπέπονθε θάνατον. πῶς γάρ; ὃς ἐκ
παρθένου γεγέννηται, οὐδὲ εὑρέθη δόλος
ἐν τῷ στόματι αὐτοῦ. διὰ τοῦτο οὐδὲ τὸν σω-

ματικὸν ἀποθανεῖν ὤφειλεν· καθότι ἀ-
ναμάρτητος διεβίω· ὅμως τοῦ διαβόλου
ζωεφηλίσαντος διὰ τῶν θεοκτόνων ἰουδαίων,
ἐκεῖνον αὐτὸν ἀπεδέξατο δι' ἡμᾶς, ἀποθα-
νεῖν γὰρ ἐδύνατο τὸν παλαιὸν ἀδὰμ ἐνδυ-
σάμενος, καὶ ἐπείπερ οὐκ ἀπέθανε διὰ
τὴν προγονικὴν ἁμαρτίαν, πάλιν τὸ ἑαυ-
τοῦ σῶμα ἀνείλετο. τῷ δ' οὖν θανάτῳ τοῦ
διαβόλου. διπλοῦν ἐπάθομεν θάνα-
τον, τῷ δ' ἁπλῷ καὶ ἑνὶ θανάτῳ τοῦ χριστοῦ
περιαιρεθέντος τοῦ θανάτου ἠλευθερώθη-
μεν, καὶ ἐζωοποιήθημεν δι' αὐτοῦ καὶ ὥς-
φησιν ἡσαΐας, τῷ μώλωπι αὐτοῦ, ἡμεῖς

παύλου ἰάθημεν. εἰ γὰρ καὶ σωματικῶς
ἀποθνήσκομεν διὰ τὸ θνητὸν σῶμα, ἀλ-
λὰ πάλιν ἀναλαβεῖν προσδοκῶμεν τὸ σῶμα τὸ
ἡμῶν ἐν δόξῃ, ὅταν ὁ χριστὸς φανερωθῇ ἡ ζωὴ
ἡμῶν, κατὰ τὸν μακάριον παῦλον, καίτοι
εἰς τὸν κατὰ τοῦ θανάτου ἀγῶνα οὐδὲν ἡ-
μεῖς αὐτῷ συνηράμεθα. διὰ δὲ τὸ κοινὸν
τῆς ἀνθρωπίνης φύσεως, ἣν ἅπασαν προσελά-
βετο ἐν μιᾷ ὑποστάσει, καὶ διότι χριστὸν καὶ
δεσπότην αὐτὸν ἐπιβοώμεθα. καὶ ἑορτάζομεν,
καὶ πανηγυρίζομεν, καὶ τοὺς ἐπινικίους
ᾄδομεν αὐτῷ, εἰς τὴν τοῦ θανάτου νίκην, κοι-
νωνοὺς τῆς νίκης ποιεῖται καὶ τὴν ἐξαθε-

εἰὰν χαρίζεται. τοῦ γὰρ θεοῦ τοῦ πατρὸς
υἱοῦ καὶ τοῦ πυρὸς καταδικάσαντος τὸν
διάβολον ὡς ἀδίκως ἐπενεγκόντα τῷ
ἀναμαρτήτῳ τὸν θάνατον. οὐκ ἐκρατήθη
ὑπὸ τοῦ θανάτου ἡ αὐτοζωή, ἀλλ' ὡς πο
τῆς δόξης ὑπερβαλλούσῃ ἐξουσίᾳ τὸν ἄρ-
χοντα τοῦ σκότους καὶ τὰς ὑπ' αὐτῷ δυνά-
μεις κατήνεγκε. καὶ τὴν ἰσχὺν ἐκείνων διέ-
λυσε, καὶ οὕτως τὰς μὲν ψυχὰς τῶν ἁγίων,
οἳ καὶ αὐτὸν προσεδέχοντο, τοὺς δεσμοὺς διαρ-
ρήξας ἀπέλυσε, καὶ μεθ' ἑαυτῷ ζῶντας
ἀνήγαγεν, ἣν ἀληθεία ἡμῖν ἔχεις. ἔτι δὲ καὶ
τῶν εἰς αὐτὸν ἀρχὴ τὸ ἐπισκόπων. ἀ

νελάβετο δὲ τὸ ἑαυτοῦ σῶμα καὶ ἀνέστη τριή-
μερος νικητὴς τοῦ θανάτου. τὰ σκῦλα τοῦ
ἄρχοντος σκυλεύσας, καὶ καθάπερ αἰχ-
μάλωτον αὐτὸν καταστήσας. εἶτα καὶ
ἐφάνη τοῖς μαθηταῖς καὶ ἔφαγε καὶ ἐψη-
λαφήθη, διὰ μόνην τὴν τῆς ἀναστάσεως ὡς
ἔφημεν πίστωσιν, καὶ τέλος εἰς τὸν οὐρανὸν
ἀνελήφθη πάντων ὁρώντων. ἐπεὶ μηδενὸς
τοιούτου πρότερον γεγονότος. ἀλλ' ἢ Ἠ-
λίας ἁρπαγῆς. οὐκ εἰς οὐρανὸν ἀλλ' ὡς εἰς οὐ-
ρανὸν ἁρπαγῆναι λέγεται, οὐδεὶς γὰρ ἀ-
ναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ
οὐρανοῦ καταβάς. καὶ ὁ μέν, ὑπάγου, ὁ δὲ

χριστὸς αὐτὸς ὑφ' ἑαυτοῦ εἰς τὸν οὐρανὸν ἀναφέ-
ρεται· πρωτότοκος ὢν ἐκ τῶν νεκρῶν καὶ
ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος.
ἐλπίδας ἡμῖν παρέσχετο· τοῦ καὶ ἡμᾶς τὸν
ὅμοιον ἀναστήσεσθαι τρόπον, καὶ αὐτῷ
παραστήσεσθαι τῷ ἀρχηγῷ τῆς σωτηρίας ἡμῶν
ἢ δοξασθησομένους, ἢ κολασθησομένους ἀ-
θάνατα. ὅτε δηλονότι, καθὼς πιστεύο-
μεν, τὸ δεύτερον πάλιν ἐλεύσεται κρίναι
ζῶντας καὶ νεκρούς. ὁ τοίνυν κατὰ τῆς
ἀνθρωπίνης φύσεως ἐπαιρόμενος, καὶ τὴν οἰ-
κουμένην ὡς νοσσιὰν καυχώμενος κατα-
λήψεσθαι, νῦν ὑφ' ἡμῶν ἐμπαίζεται καὶ

Γεγράφθαι τῶν τὸν Χριστὸν προσκυνούντων τὸν αὐτοῦ

ὁμοούσιον θεῷ καὶ αὐτὸν καὶ βοώντων, ἐπεφάνη

ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παι-

δεύουσα ἡμᾶς· ἵνα ἀρνησάμενοι τὴν ἀσέ-

βειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρό-

νως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ αἰῶνι τούτῳ.

οὐκέτι γὰρ ἡμῖν ὁ ἀποστάτης καὶ κατάκριτος,

ὡς οὐδεὶς ἐστὶ τῆς αὐτοῦ σφραγῖδος τῆς ἁμαρ-

τίας ἀμέτοχος, ὥστε καὶ κατὰ ταύτην αὐτῷ κοι-

νωνοῦντας ὑπὸ τὴν ἐξουσίαν καὶ κατοχὴν

αὐτοῦ τοῦ σκότους κοσμοκράτορος καὶ ἀρ-

χηγοῦ τῆς ἁμαρτίας ἀναγκάζεσθαι εἶναι.

ἐχόμενοι γὰρ ἐκ τῆς ἡμετέρας φύσεως ὥσπερ

ἀνάθημα καὶ θυσίαν προσάγεσθαι τῷ ὑ-
πὸ τοῦ λόγου τοῦ θεοῦ προσληφθεῖσαν σάρ-
κα, ἀναμαρτήτως τὸ τέλειον αὐτοῦ. ὢ τῆς
προσβολῆς ὁ ἐχθρὸς κατακράτος ἡττή-
θη. ἔρχεται γάρ φησιν ὁ ἄρχων τοῦ κόσμου
τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. καὶ
νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβλη-
θήσεται ἔξω. ἀναληφθεὶς οὖν καὶ καθί-
σας ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πρς, οὓς ἡμῖν δι'
ἑαυτοῦ κατήλλαξεν, ἀπαγορευθεῖσιν ἐκεί-
νου διὰ τὴν ἁμαρτίαν, καὶ τῷ κοσμοκρά-
τορι προσταχθεῖσιν, ἔτι καὶ νῦν ἐντυγχάνει
ὑπὲρ ἡμῶν τῷ θεῷ, καθάπερ φησὶ

παῦλος. καὶ ὡς μὲν αὐτὸς πατὴρ καλεῖ. ὡς δὲ
θεὸς τῆς μεγάλου πατρὸς καὶ τοῦ πνεύματος. τὰς ἱκεσίας
δέχεται μέγα οὖν ἀξίωμα τοῖς αὐτοῖς δέ-
δωκε. μεγάλην παρρησίαν, μεγάλην τιμήν.
καὶ γὰρ θαρρούντως ἂν εἴποιμεν. ἐστὶ δὲ ἀν-
θρώποις διακονήσας. ἐστὶν αὐτὸς ὑπὸ πάντων
προσκυνούμενος τῶν ἀγγέλων. ἐστὶν ἡμῖν
ἐν οὕτως ἀδελφός. καὶ φίλος. αὐτὸς γὰρ
ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος καλεῖσθαι ἠξίω-
σεν. ἀπάγγελε γὰρ φησὶ πρὸς τοὺς ἀδελφούς μου.
καὶ οὐκέτι ὑμᾶς καλῶ δούλους. ἀλλὰ φίλους
ὡς δὲ ἡμῖν, ὅ φησι παῦλος συμβαίνει. χά-
ριτι ἐσώθημεν καὶ οὐκ ἐξ ἔργων νόμου. τί

τί δ' αὖ ἐπὶ τῆς τοιαύτης χάριτος μεῖζον; ἢ τὸ τὸν
υἱὸν τοῦ θεοῦ δι' ἡμᾶς μηδὲν προσενεγκόν-
τας αὐτὸν γενέσθαι θελήσαντα, τῶν τ' εἰδώλων
καὶ τῆς πλάνης καὶ τῆς τοῦ νόμου σκιᾶς
ἡμᾶς ἀπαλλάξαι: καὶ τὴν ἀληθινὴν καὶ
δικαίαν διδάξαι λατρείαν; καὶ μεσίτην,
καὶ ἀρχιερέα ἡμῶν γενόμενον, δι' ἑαυτοῦ
τὸ χειρόγραφον τῆς ἁμαρτίας ἡμῶν διαρ-
ρῆξαι, καὶ τὴν πρὸς τὸν θεὸν προσαγωγήν τε
καὶ καταλλαγὴν ἐργάσασθαι; καὶ μισθὸν
δωρήσασθαι τοῖς πειθομένοις αὐτῷ τὴν πρὸς
αὐτὸν οἴκησιν; ὥστε μετὰ βεβαιοτάτων
ἐλπίδων τὸν αἰῶνα τοῦτον περαιουμένους,

μετὰ τὴν ἀνάληψιν καὶ τὴν τοῦ παντὸς ἀπο-
κατάστασιν αὐτῷ συνέσεσθαι. ἔστι τοίνυν ἐν
δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς ὁ ὢν εἰς τὸν κόλπον
τοῦ πατρός. καὶ τοῖς μαθηταῖς ὢν ὡς ὑπέσχετο
ἕως τῆς συντελείας, καὶ οἰκονομεῖ καὶ συνίστη-
σι τὴν ἡμετέραν ζωὴν τὴν ἐν κρυπτῷ νοου-
μένην ἥτις τὴν ἀρχὴν ἐντεῦθεν διὰ τῶν μυ-
στηρίων λαμβάνει. τὴν τελείωσιν δὲ ἐπὶ τοῦ μέλ-
λοντος δέχεται. οὐ μόνον μὴ φανῶμεν
ἀμελοῦντες τοσούτων ὥστε μικρᾶς ἡδονῆς
καὶ προσκαίρου χάριν προδοῦναι τὴν τοσαύ-
την εὐεργεσίαν, ἀλλ᾽ ἐπιμελώμεθα διὰ τῶν
ἐντολῶν αὐτοῦ καὶ τῶν παραδεδομένων ἡμῖν

ὑπ᾽ αὐτοῦ

ὑπ' αὐτοῦ μυστηρίων πρὸς τὴν πεῖσαν ἡμῶν
ἐπείγεσθαι, καὶ εἰς αὐτὸν ἀναβλέπειν καὶ τούτῳ
ὡς κεφαλῇ καθάπερ μέλη συνάπτεσθαι,
καὶ ὥσπερ ἐν ἀμπέλῳ κλήματα μένωμεν.
ἀλλὰ μὴ ἔξω ἐκφύντες δαπάνη πυρὸς
μὴ δέ ποτε σβεννυμένου γενώμεθα:~

## περὶ τῶν ζ΄ μυστηρίων:

Παραδέδοται γὰρ ἡμῖν καὶ θεῖά τινα μυστήρια ς΄.
δι' ὧν ἔξεστι τελουμένους ἁγιάζεσθαι τοὺς
εἰς αὐτὸν πιστεύοντας, καὶ τὸ ζητούμενον
κατορθοῦν. ἐπειδὴ γὰρ ὁ τοῦ χριστοῦ θάνατος, ὥσ-
περ τις καθολικὴ αἰτία τῆς ἀνθρωπίνης σωτηρίας
ἐστί· δεῖ δὲ τὴν καθόλου αἰτίαν ἁρμόζειν

πρὸς ἕκαστον τῶν ἀποτελεσμάτων, ἀναγ-
καῖον τοῦ δοθῆναι τινὰ φάρμακα τοῖς ἀνθρώποις.
δι' ὧν καὶ συνάπτηται τούτοις ἡ διὰ τὸν θα-
νατον τοῦ χριστοῦ γινομένη εὐεργεσία. καὶ δι'
ὧν ἡ πνευματικὴ συνίσταται ζωὴ καθ' ὁμοιότητα
τῆς ἀνθρωπίνης ζωῆς. ταῦτα δὲ δι' αἰσθητῶν γίνε-
σθαι πρεσδόθηκεν. ὅτι καὶ ὁ ἄνθρωπος αἰσθητὸς
ὤν. διὰ τῶν αἰσθητῶν ἀνάγεται πρὸς τὰ νοη-
τά. ἐπεὶ δὲ ἐν τῇ ἀνθρωπίνῃ ζωῇ διπλῇ τάξις
εὑρίσκεται. οἱ μὲν γὰρ εἰσὶ χορηγοὶ καὶ
τακτικοὶ τῆς σωματικῆς ζωῆς οἱ γεννῶντες,
οἱ δὲ τὴν χορηγίαν δεχόμενοι καὶ τὴν τάξιν
οἱ τῆς πόλεως νομοθέται καὶ ἄρχοντες, κτλ.

τοῦτον τὸν τρόπον καὶ ἡ πνευματικὴ συνίσταται
ζωή. ὥσπερ οὖν ἕκαστον τῶν ὄντων διὰ τῆς
γεννήσεως λαμβάνει τὴν ζωήν, οὕτω καὶ
τὴν πνευματικὴν ζωὴν καὶ ἡμεῖς ἀναγεννώμεθα
διὰ τοῦ βαπτίσματος, ὅπερ οὐ μόνον τὴν
προγονικὴν ἡμῶν ἁμαρτίαν ἀναιρεῖ· ἀλ-
λὰ καὶ τὰς γενομένας ὑπ' αὐτοῦ τοῦ βαπτιζο-
μένου πρὸ τοῦ βαπτίσματος δηλονότι.
οὐ μὴν τὰς μετὰ ταῦτα γινομένας, καὶ γὰρ
ὡς καὶ ὁ θεολόγος φησὶ γρηγόριος, ἄφεσιν
ἔχει τῶν ἡμαρτημένων, οὐ τῶν ἁμαρτανο-
μένων. τὸ μὲν οὖν ὁρώμενον ἐν τῷ βαπτίσ-
ματι ὕδωρ ἐστίν. ἡ δὲ ἁγία τριὰς νοητῶς

πρὸ τούτων εἰς τὸ βαπτίζεσθαι προσταχθῆναι.
Χρήζεται τὴν ἀναγέννησιν ταύτην, ὃ δὴ βα-
πτισμα καὶ ὁ Χ(ριστὸ)ς ἐβαπτίσατο. οὐχ ὡς κα-
θάρσεως δεόμενος. ἀλλ᾽ ἵνα τὴν ἡμετέραν
ἀνακαινίσῃ φύσιν, καὶ διδάξῃ καὶ τὸν
τρόπον τοῦ τελείου βαπτίσματος, τὸ γὰρ
πρὸ τούτου τύπου καὶ ἑτοιμασίας λόγον ἔ-
χοντα, ἀτελῆ ἦν, ὅτε καὶ τὸ μυστήριον
ἐφανερώθη τῆς ἁγίας τριάδος τοῦ μὲν βαπ-
τιζομένου υἱοῦ ἀγαπητοῦ πατρὸς τοῦ πρὸς ὁμο-
λογηθέντος διὰ φωνῆς ἐκ τοῦ ἀέρα τυπωθεί-
σης, καὶ ταῖς ἀντίνας ἀκοαῖς πληρωθείσης
τοῦ δὲ ἁγίου πν(εύματο)ς ἐν εἴδει σωματικῷ περι-

στερεᾶς ἐπὶ τοῦ βαπτιζομένου καὶ ἀπταίστος.
πάλιν ἐπὶ τὸ γεννηθὲν διὰ τῆς αὐξήσεως
ἐπὶ τὴν ὀφειλομένην ποσότητα καὶ ταῦτα,
δίδοται καὶ ἡμῖν τελειότης πνευματικῆς ἰσχύος
διὰ τῆς τοῦ μύρου χρίσεως. ἐν τούτῳ γὰρ
δείκνυται ἡ πνευματικὴ ἰσχύς. ὅταν τὴν τοῦ Χριστοῦ
πίστιν τολμῶμεν ἐνώπιον πάντων ὁμο-
λογεῖν, καὶ μὴ διά τινα αἰσχύνην, ἢ φόβον
δειλιῶμεν καὶ ἀποφεύγωμεν, διὰ τοῦτο
καὶ ἐν τῷ μετώπῳ λαμβάνομεν. ἵνα μὴ
αἰσχυνώμεθα ταύτην ὁμολογεῖν, καὶ
ἐν ταῖς χερσὶ καὶ τοῖς ποσίν. ἵνα ὅπλα
ἀρετῆς καὶ δικαιοσύνης ταῦτα τῷ θεῷ πα

ἐρεστήσωμεν· ὅθεν καὶ σημειούμεθα τῷ
σημείῳ τοῦ χῦ τουτέστι τῷ τοῦ σταυροῦ, δι'
οὗ καὶ ὁ χς ἐπολέμησε καὶ ἐνίκησεν, ἵνα
δηλώσωμεν ὑπό τινι στρατηγῷ ταττόμεθα.
ἡ δὲ χρῖσις αὕτη ἐξ ἐλαίου καὶ ἀρρωμά-
των κατασκευάζεται, ἵνα ὁμοῦ μὲν φήμην
ἀγαθὴν ἀπὸ τῶν ἔργων ἔχωμεν, ἐν τῷ κόσ-
μῳ ἀναστρεφόμενοι, καθάπερ ὀσμῇ
διαδιδομένῃ ὁμοῦ δὲ ὥσπερ οἱ ἀθληταὶ
τῷ ἐλαίῳ ἠλείφοντο ἀγωνιζόμενοι, οὕτω καὶ
ἡμεῖς ὑπὲρ τῶν τῆς ἐκκλησίας δογμάτων
τοῦ καιροῦ καλοῦντος ἀγωνιζώμεθα, πά-
λιν ὥσπερ ἡ σωματικὴ ζωὴ φυσικῆς βο-

φῆς δεῖται, ἵνα αὔξῃ καὶ ἐνδυναμοῖ καὶ συγ-
κρατῇ τὴν φύσιν, οὕτω καὶ ἐν τῇ πνευματικῇ
ζωῇ πνευματικὴ ἐδόθη τροφή. ἵνα διὰ ταύτης
οἱ ἀναγεννηθέντες, καὶ τηρῶνται καὶ αὔξων-
ται, αὕτη δέ ἐστιν ἡ μετάληψις τοῦ σώμα-
τος καὶ αἵματος τοῦ Χριστοῦ. ἥτις δι' ἄρτου
καὶ οἴνου παραδέδοται, οἷς κοινότερον
οἱ ἄνθρωποι πρὸς τὴν σωματικὴν χρῶνται τρο-
φὴν, καὶ διὰ τοῦ μυστηρίου τούτου, μνή-
μην καὶ παρουσίαν λαμβάνομεν τοῦ δε-
σποτικοῦ πάθους. αὐτὸς γὰρ ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς καθὰ φησὶ τὸ ἱερὸν εὐαγγέλιον ἐν
τῇ νυκτὶ ᾗ παρεδίδοτο, λαβὼν ἄρτον καὶ

εὐχαριστήσας ἔκλασε, τουτέστιν ἔκοψε κα-
τέτεμε. καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ
λάβετε φάγετε. τοῦτό ἐστι τὸ σῶμά μου,
τὸ ὑπὲρ ἡμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρ-
τιῶν, καὶ τὸ ποτήριον ὡσαύτως μετὰ τὸ
δειπνῆσαι, τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ
ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν
ἁμαρτιῶν, καὶ προσέθηκε τοῦτο ποιεῖτε
εἰς τὴν ἐμὴν ἀνάμνησιν, καταγγελλόμενοι οὕτω
διὰ τούτου τὸν θάνατον αὐτοῦ. καὶ οἷον ἐ
συναποθνήσκοντες αὐτῷ διὰ τῆς τῶν παθῶν
νεκρώσεως, ζωοποιούμεθα δι' αὐτοῦ καὶ
ἀναστησόμεθα ἐν δόξῃ, καὶ γὰρ ὁ ἀπόστολος

φησίν. ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον αὐτοῦ πίνητε, τὸν θάνατον τοῦ κυ καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε. ἕως ἂν ἔλθη. πῶς οὖν μεταβάλλεται ὁ ἄρτος καὶ οἶνος εἰς σῶμα καὶ αἷμα τοῦ χυ, αἴτινος λόγος εἰπεῖν οὐ δύναται. ἀλλ᾽ ἐπειδὴ ὁ δεσπότης τῆς κτίσεως τοῦτο εἶπεν οὕτως ἔχειν, ὥσπερ πιστεύομεν, ὅτι τῷ ῥήματι αὐτοῦ ὁ κόσμος ἐκ τοῦ μὴ ὄντος συνέστη. καὶ ἅπαξ μὲν ἐν ἀρχῇ εἰρηκὼς ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου. καὶ μέχρι τοῦ νῦν ἐξάγει τὰ ἴδια βλαστήματα τῷ θείῳ προστάγματι συνελαυνομένη καὶ δυ-

ναμουμένη. οὕτω καὶ τὸ ὑπηρετοῦντος τοῦ ἱερέως, πιστεύομεν γίνεσθαι. ὥστε τὸν ἄρτον εἰς σῶμα αὐτοῦ καὶ τὸν οἶνον εἰς αἷμα αὐτοῦ μεταβάλλεσθαι. διὰ τὴν τοῦ ἁγίου πνεύματος δύναμιν. καὶ ὡς φησὶν ὁ θεῖος χρυσόστομος, σχῆμα μόνον πληρῶν ἕστηκεν ὁ ἱερεύς. ἡ δὲ δύναμις πᾶσα τῶν λόγων ἐστίν. αὐτὸς γὰρ εἴρηκεν ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ πάλιν ὁ τρώγων με ζήσεται. ὅθεν χωρὶς πάσης ἀμφιβολίας μετέχειν αὐτῶν ὀφείλομεν, καθαρὰν καὶ βεβαίαν περὶ αὐ-

των ἐχόντων πίστιν. καὶ ὥσπερ φησὶν ὁ θεῖος
Χρυσόστομος, οὕτω διατίθεσθαι ἕκαστον
τοῖς θείοις προσερχόμενον μυστηρίοις, ὥσπερ
αὐτὸ τῆς τοῦ Χριστοῦ πλευρᾶς τούτων μετα-
λαμβάνοντα. εἰ μὴ γὰρ οὕτω περὶ τούτων
πιστεύομεν, οὐ μόνον οὐδὲν παρ' αὐτῶν ὠφε-
λούμεθα διὰ τὴν ἀπιστίαν ἡμῶν, ἀλλὰ καὶ
εἰς αἰωνίαν κατάκρισιν ταῦτα μεταλαμ-
βάνεται. τὸ δ' αὐτὸ συμβαίνει καὶ τὸ πλῆ-
θος ἁμαρτημάτων ἔχοντας μηδὲν προκα-
θαρθέντας τούτων μεταλαμβάνομεν.
καὶ γὰρ ὅμοιοι δόξομεν τοῖς παραιτίοις τοῦ
σώματος τοῦ Χριστοῦ, ὥς φησιν ὁ θεῖος ἀπόστο-

λος δοκιμαζέτω ἕκαστος ἑαυτόν· καὶ οὕτως
ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου
πινέτω, καὶ ὁ ἀναξίως μεταλαμβάνων
τοῦ σώματος καὶ αἵματος τοῦ χυ, κρίμα
ἑαυτῷ ἐσθίει καὶ πίνει, καὶ ἔνοχος ἔσται τοῦ
σώματος καὶ αἵματος τοῦ χυ. πρὸς τοὺς τοί-
νυν διαπορούντας περὶ τῆς ἀπὸ τοῦ ἄρτου
καὶ τοῦ οἴνου εἰς τὸ σῶμα καὶ αἷμα τοῦ χυ
μεταβολῆς τὴν δύναμιν τοῦ θυ προβαλλόμε-
θα. εἰ γὰρ ὁμολογοῦσι τὸν θν παντοδύναμον
εἶναι. οὐδὲ τοῦτο διαπορήσουσιν. εἰ γὰρ κατὰ
δύναμιν φυσικὴν ἡ ὑποκειμένη τοῦ ἀέρος
ὕλη δύναται κατὰ τὸ εἶδος μεταβάλλεσθαι

εἰς πῦρ. πολλῷ μᾶλλον ἡ τοῦ θεοῦ δύνα-
μις, ὃς ὅλην τὴν οὐσίαν τῶν πραγμάτων
παρήγαγεν οὐχὶ τὸ εἶδος μόνον μεταβαλεῖ.
ἀλλὰ τὸ ὑποκείμενον ὅλον ἄρτου, καὶ τοῦ
οἴνου εἰς ὑποκείμενον σάρκα καὶ αἷμα με-
ταποιήσει. εἰ δέ τις πάλιν διὰ τὰ τῇ αἰσθή-
σει φαινόμενα τὴν μεταβολὴν ταύτην διαπι-
στεῖ, κατανοείτω ὅτι τὰ θεῖα ἡμῖν οὕτω
περιβάλλονται ὡς ὑπὸ παραπετάσμασι
τοῖς αἰσθητοῖς, ὅθεν διὰ τοῦ ἄρτου καὶ τοῦ
οἴνου τῆς συνήθους ἡμῖν βρώσεως δέδωκε
ἐκείνων μεταλαμβάνειν. ἵνα μὴ ξένον τι καὶ
ἄηθες τῇ αἰσθήσει δοκῇ. οὐ μὴν οὐδὲ χ…

φαντασίαν γίνεσθαι τοῦ περ πασχόμενον, δυ-
νατὸς γὰρ ὡς εἴπομεν ὁ θεός. καὶ τὸ ὑποκεί-
μενον μεταβάλλειν. καὶ τὰ πρότερον συμ-
βεβηκότα πάλιν διατηρεῖν. ἐμβαίνει τοι-
νῦν τῶν σωματικῶν ζωῶν ἀναλογεῖν τῇ
φυτικῇ. ὥσπερ γὰρ ἐκείνης τὸ γεννητικὸν
καὶ αὐξητικὸν καὶ θρεπτικὸν αἱ φυσικαὶ
αὗται δυνάμεις θεωροῦνται, οὕτω καὶ ἐν
ταύτῃ. τὸ μὲν γὰρ βάπτισμα δι' οὗ ἡ νοητὴ τοῦ
ἀνου ἀνακαίνησις γίνεται, ἀναλογεῖ τῇ
γεννητικῇ. ἡ δὲ τοῦ μύρου χρίσις δι' οὗ ἡ πνευ-
κὴ αὔξησις ἐπιτελεῖται, ἰσχὺν ἄγουσα, τῇ
αὐξητικῇ, ἡ δὲ μετάληψις τῶν ἁγιασμάτων

δι' οὗ ἡ πνευματικὴ τροφή. τῇ θρεπτικῇ ἀνα-
λογεῖ. πάλιν ἐπειδὴ συμβαίνει καὶ ἐμ-
ποδιοῦν περὶ τὴν σωματικὴν ζωήν, κα-
θ' ὃ ἕκαστον ἀσθενεῖ, ἀναγκαίως βλάπτεται
ἀπὸ τῶν ἔξωθεν ἢ τοῦ ἀσθενῶς ζῶντος θερα-
πεία. τοῦτο δὲ θεωρεῖται καὶ κατὰ τὴν πνευ-
ματικὴν ζωήν. ὁ γὰρ ἄνθρωπος διότι ἐστὶν αὐτεξού-
σιος, δύναται ἁμαρτάνειν. ὅταν ἔξω τοῦ
λόγου καὶ τῆς ἀκολουθίας τῶν ληφθέντων
αὐτῷ μυστηρίων ἐνεργῇ τι. εἰ μὲν οὖν
ἐν τῇ ψυχῇ γίνεται μόνον ἡ ἀσθένεια αὕ-
τη καὶ ἡ παρεκτροπή, διὰ τοῦ μυστηρίου
τῆς μετανοίας ἐπανορθοῦται. εἰ δὲ ἀπὸ

τῆς ἐν τῇ ψυχῇ ἁμαρτίας ἐπὶ τὸ σῶμα ἡ
ἀσθένεια διαβαίνει. διὰ τὸ συμφέρον τοῦ
τὴν ἁμαρτίαν πεποιηκότος. καὶ γὰρ πολ-
λάκις ἀσθενεῖ τις διὰ ἁμαρτίας, ἵνα σωφρο-
νισθῇ, ἐπανορθοῦται διὰ τοῦ μυστηρίου τοῦ
εὐχελαίου ὃ τελευταία λέγεται χρίσις. δί-
δοται τοίνυν τοῖς ἁμαρτάνουσι μετὰ τὸ βα-
πτίσασθαι ἡ διὰ τῆς μετανοίας καὶ ἐξαγορεύ-
σεως θεραπεία καὶ ἐπανόρθωσις, οὐ δίδο-
ται δὲ αὕτη ἡ θεραπεία διὰ τοῦ πάλιν τὸ
αὐτὸ βάπτισμα βαπτισθῆναι κατὰ τοῦ-
τον τοῦ ζῶντος. ἐπεὶ γὰρ συνετάφημεν τῷ
Χριστῷ διὰ τοῦ βαπτίσματος, ὡς φησιν ὁ ἀπό-

στολος· ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν εἰς τὸν
θάνατον αὐτοῦ ἐβαπτίσθημεν, καὶ πά-
λιν συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπ-
τίσματος, ὥσπερ τὸν Χριστὸν ἀνασταυροῦν οὐ
προσήκει, οὕτω καὶ τοὺς μετὰ τὸ βάπτισ-
μα ἁμαρτόντας οὐδὲ πάλιν ἀναβαπτί-
ζειν. καὶ ὥσπερ οἱ τῆς φυσικῆς καὶ σωμα-
τικῆς ζωῆς διὰ γεννήσεως τυχόντες, ἂν ἐμ-
πέσωσι νόσῳ τινὶ ἐναντιουμένῃ τῇ τελεία
ταύτῃ ζωῇ. οὐκ ἀναγεννώμενοι πάλιν
ἀλλ' ἑτέρῳ τῷ τρόπῳ ὑγιώσεως θεραπεύον-
ται ἀπαλλαττόμενοι τῆς νόσου, οὕτω καὶ
πρὸς τὸ βάπτισμα πνικῶν οὕτως ἀνα-

γνώνησιν, ἀνακείμενται οὐ δεῦ αὐτά. ἵνα ἐξα-
λείψωσι δηλονότι ἃ μετὰ τὸ βάπτισμα
ἠργάσαντο ἁμαρτήματα. διὰ δὲ τῆς μετα-
νοίας τοῦτο γίνεται, τίς δὲ ὁ τρόπος τῆς με-
τανοίας, καὶ πόσα αὐτῆς εἰσὶ μέρη. καὶ ποι-
ούς τινας εἶναι δεῖ τοὺς εἰς τοῦτο τεταγμένους
πνευματικοὺς ἄνδρας, καὶ πῶς τοὺς μετανο-
οῦντας αὐτοῖς προσέρχεσθαι δεῖ. καὶ τίνι
τρόπῳ τοὺς τοιούτους θεραπεύειν δύνανται. καὶ
πῶς ἐκ τῶν ἁμαρτημάτων ἠλευθερωμένους
ἐλευθέρας αὖ ἔπη πραγματείας. ἀγῶσι τε καί
πνευματικῶν ἀνδρῶν τὸ λοιπὸν διαιτᾶται κατὰ λό-
γον ὀρθόν. ὥσπερ εἰς κατάληψιν ἔσονται τοῖς

ἐπιοῦσι τὰς τῶν διδασκάλων γραφάς. ἐπεὶ δὲ καθάπερ ἑπομένη ἐκ τῆς τῆς ψυχῆς ἀρρωστίας νόσος τὶς ἐπὶ τὸ σῶμα διαδίδοται διὰ τὴν πρὸς ἄλληλα σχέσιν τε καὶ συμπάθειαν τοῦ σώματος λέγω καὶ τῆς ψυχῆς ἥτις δὴ νόσους δι' ὠφέλειαν γίνεται, κόλασις γάρ ἐστι διὰ τὴν ὀφειλομένην αὐτῷ τιμωρίαν μόνον, ἀλλὰ καὶ ἀρρωστίαν ταύτην ὁ αὐτὸς εὐχαρίστως ὑπομένει. πολλάκις δὲ ὑπὸ ταύτης νόσου ἐμποδίζεται ὁ αὐτὸς εἰς τὸ ἐργάζεσθαι τὸ ἀγαθόν, καὶ διὰ τοῦ ἀγαθοῦ ἔργου ἐπιτυχεῖν τῆς πνευματικῆς ὠφελείας, δίδοται τὸ μυστήριον τῆς τελευταίας

χρίσεως ἤγουν τὸ εὐχέλαιον, ὅπερ καὶ
αὐτὸ πνικὴ ἰατρεία ἐστίν. ἵνα ἀπαλλαττώ-
μεθα τῆς τοῦ σώματος ἀρρωστίας, ἥτις ἐμ-
ποδισμὸς γίνεται πρὸς τὰ πνικὰ ἔργα,
περὶ οὗ ὁ θεῖος ἀπόστολος ἰάκωβος γράφει·
ἀσθενεῖ τὶς ἐν ὑμῖν προσκαλεσάσθω τοὺς
πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ εὐξάσ-
θωσαν ἐπ᾽ αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ
ἐν τῷ ὀνόματι τοῦ κῦ. καὶ ἡ εὐχὴ τῆς πίστεως
σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κσ.
κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται
αὐτῷ. εἰ δὲ μὴ ἀπαλλάττοιτο διὰ τοῦτο
τῆς τοῦ σώματος ἀρρωστίας, οὐκ αἰτιᾶσθαι

δὲ τὴν τοῦ μυστηρίου τούτου δύναμιν,
πολλάκις γὰρ καὶ τὸ θεραπευθῆναι σω-
ματικῶς πρὸς τοὺς ἀξίως τὸ μυστήριον
τοῦτο λαμβάνοντας, οὐκ ἔστι χρήσιμον
πρὸς τὴν ψυχικὴν σωτηρίαν, ἴσως γὰρ οὐ δὲ χρή-
σονται τῇ ὑγείᾳ πρὸς τὸ συμφέρον. οὐ μέν-
τοι ἀνωφελῶς πάλιν τοῦτο λαμβάνουσιν.
ἐπεὶ καὶ μὴ ἡ σωματικὴ θεραπεία ἀκολου-
θήσει. ὠφελεῖ γὰρ κατ' ἄλλον τρόπον, εἰς μὲν γὰρ
τὰς ἀσωμάτους νόσους, ἀμβλύνει τὴν οἰ-
κειώσεις πρὸς τὸ κακόν, ἀμείβεται πρὸς τὸ
ἀγαθόν, διὰ τῆς μετανοίας ὡς εἴπομεν
ἐν θεραπείᾳ. ἐπεὶ δὲ ὁ αὐτὸς ἡ σπορὰ

θυμίαν ἢ διὰ τοὺς ποικίλους τοῦ βίου περι-
σπασμοὺς οὐ τελείως θεραπευθῇ τῆς προει-
ρημένης ἐν αὐτῷ ἀφροντισίας, ὅπερ ἐστὶ τὸ ἐμ-
πέσον τοῦτο τῷ αὐτῷ δέδοται· ὥστε ἀνα-
πληρωθῆναι διὰ τούτου τὸ ἀτελὲς τῆς θερα-
πείας ἐκείνης, ἢ διὰ μετανοίας ἐγένετο καὶ
ἐλευθεροῦσθαι τῆς κολάσεως τῆς ὀφειλομέ-
νης αὐτῷ, ὅτι οὐκ ἐτελείωσε τὸν τῆς μετα-
νοίας κανόνα. ἵνα μηδὲν ἐν αὐτῷ ἀπολει-
φθῇ δυνάμενον ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς ἐμ-
ποδίζειν ἑαυτὴν τοῦ τυχεῖν τῆς μελλούσης
δόξης. οὐ μὴν καὶ ἄλλα συμβαίνει μήτε
μεμνημένου αὐτὴν μήτε γινώσκοντι ταῦτα ὅσα

ἔπραξεν ἁμαρτήματα ὥστε δύνασθαι διὰ
μετανοίας ταῦτα ἐξαλείφεσθαι, εἰσὶ δὲ καὶ
τινα καθημερινὰ ἁμαρτήματα. ὧν χωρὶς
οὐκ ἔστι τὸν βίον τοῦτον διελθεῖν ὧν πάντων
ὁ αὐτὸς ἀναγκαίως καθαίρεται διὰ τού-
του τοῦ μυστηρίου. διὸ καὶ πρόσκειται· κἂν
ἁμαρτίας ᾖ πεποιηκώς. ἀφεθήσεται αὐτῷ.
ὅθεν δῆλον ὅτι τελευταῖον ἐστὶ τὸ μυστήριον
τοῦτο. ὥσπερ ἐπισφράγισμα πάσης τῆς
πνευματικῆς ἰατρείας, καὶ ὅτι τοῖς ἀσθενοῦσι προσ-
άγειν δεῖ. καὶ μᾶλλον ἐκείνοις, οἳ διὰ ἀσθένειαν
οὐκ ἐξεπλήρωσαν τὸν ὀφειλόμενον αὐτοῖς
κανόνα, καὶ ὅτι τοῖς αὐτοῖς πάλιν δεῖ προσ-

σαρκῶν. ἢ πρὸς τὴν ὁμοίαν ἔλθοιεν ἀνάγκην. δύναται γὰρ ὁ αὐτὸς τοῖς αὐτοῖς πάλιν ἀλο-πήμασι περιπίπτειν διὰ τὴν τῆς φύσεως ἀσθένειαν, ὥστε καὶ πολλάκις τῷ αὐτῷ τρόπῳ τῆς θεραπείας χρῆσθαι, καθάπερ καὶ ἐν τῇ σωματικῇ ζωῇ, τὰ αὐτὰ ἀρρωστήματα συμβαίνει, καὶ πάλιν τοῖς ὁμοίοις θεραπεύονται φαρμάκοις. πάλιν δὲ ἐπεὶ οἱ χορηγοὶ καὶ τελειωτικοὶ τῆς σωματικῆς ζωῆς διχῶς θεωροῦνται, τουτέστιν ἢ κατὰ τὴν τῆς φύσεως γονιμότητα, ὅπερ ἐστὶ τῶν γονέων ἢ κατὰ τὴν πολιτικὴν ἀρχήν. δι' ἧς τὸ εἰρηνικὸν τῆς ζωῆς συντηρεῖται, ὅπερ τῆς βασι-

λείας καὶ

τοῖσι καὶ ἄρχουσιν ἀνήκει, οὕτω καὶ ἐν
τῇ πνευματικῇ ζωῇ εἰσὶ μὲν χορηγοὶ καὶ φυλακ-
τικοὶ τῆς πνευματικῆς ζωῆς κατὰ τὴν πνευματικὴν
διακονίαν μόνον, ὅπερ ἐστὶ τοῦ μυστηρίου
τῶν τάξεων, καὶ θεωροῦνται τοῦτο ἐν τοῖς ἀρ-
χιερεῦσι καὶ τοῖς ἄλλοις οἰκονόμοις τῆς πνευ-
ματικῆς πολιτείας. εἰσὶ δὲ καὶ κατὰ τὴν πνευματικὴν
ζωὴν ὁμοῦ καὶ σωματικήν. ὃ γίνεται διὰ
τοῦ μυστηρίου, καθ᾽ ὃ συνέρχονται ὁ ἀνὴρ
καὶ ἡ γυνή, ὥστε γεννηθῆναι τέκνον καὶ ἀνα-
θρέψεσθαι ἐς τὴν τοῦ θεοῦ λατρείαν. ἄλλως γὰρ οὐκ
ἔστι διαμένειν τὸ ἀνθρώπινον γένος, μέχρι τῆς τοῦ
παντός, ἐπὶ τὸ ἔσχατον ἀλλοιώσεως, καὶ ὅτι

ὁ γάμος οὐκ ἔστιν αἰσχρόν, οὐ γὰρ δὴ ἡ παρθε-
νία τιμιώτερον βδελυκτὸν καὶ ἄτιμον τὸ
τοῦ γάμου, διὸ καὶ ὁ Χριστὸς αὐτὸν ἐτίμησεν
ἐν Κανᾷ τῇ ἑαυτοῦ παρουσίᾳ, πλὴν καλὰ
λέγομεν δὲ καὶ τοῖς ἄλλοις καὶ τούτῳ χρῆσθαι,
εἰ γὰρ τὸ κατὰ βίον ἄπεστι καὶ ἐπὶ τούτου
καὶ ἐπὶ τῶν ἄλλων μυστηρίων, οὐ μόνον οὐ-
δὲν ὠφελούμεθα ἀλλὰ καὶ βλαπτόμεθα
παρ' αὐτῶν διὰ τὴν ἄλογον χρῆσιν ἡμῶν. πε-
εἰ μὲν οὖν τῶν παραδεδομένων ἡμῖν μυστη-
ρίων εἰς ἀναγέννησιν καὶ θεραπείαν τῆς ἡ-
μετέρας φύσεως κατὰ τὴν πνευματικὴν ζωὴν
ταῦτ' ἐν ἐπιτομῇ διήλθομεν. τὰ δὲ βαθύ-

τερα καὶ λεπτότερα ἐν αὐτοῖς. τοῖς τὴν
θεῖαν μελοῦσι γραφὴν καὶ τοῖς διδασκά-
λοις τῆς τοῦ θεοῦ ἐκκλησίας τρανότερον
ἀνακαλυφθήσεται παραδέδονται δὲ καὶ ὑ-
πὸ τοῦ διαβόλου μυστήρια, ἵνα ἐν αὐτῇ
καὶ αὐτοὺς τοῖς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ
ἀρνουμένοις καὶ τὴν ἐναντίωσιν αὐτοῦ καὶ
ὑποτεταγμένοις αὐτῷ τῷ διαβόλῳ, ἢ καὶ
ὑπὸ τῷ τοῦ θεοῦ ὀνόματι, ὑπ' ἐκείνου ἐν
εὐσεβείας προσχήματι ἀπατωμένοις. καὶ
γὰρ καὶ παρ' αὐτοῖς εἰσὶ καὶ νηστεῖαι. καὶ
τελεταί, καὶ ἑορταὶ καὶ ἀπολούσεις, καὶ
φῶτα εἰς ἄρρητον φωτὸς τοῦ πονηροῦ ἑαυ-

τοῦ μετασχηματίζοντος, καίτοι καὶ παρ' ἡ-
μῖν ἐστὶ φωτεινὰ καὶ ἐξαίρετα. ἀλλ' οὖν τοιαῦ-
τα ὁποῖα οἱ μάρτυρες τῆς ἀληθείας ἐν
ταῖς φυλακαῖς ἑώρων, ἅπερ ἐνίοτε καὶ
ὑπὸ τῶν ἀπίστων ἐβλέποντο, εἰς τὸν ἔλεγχον
μὲν αὐτῶν καὶ κατάκρισιν, εἰς θάρσος δὲ
τῆς ἐκείνων ψυχῆς καὶ ἀρραβῶνα καὶ ἐλ-
πίδα καὶ πληροφορίαν τῆς μελλούσης
αὐτοὺς ἐκδέξεσθαι μακαριότητος, καὶ
εἰς ἔνδειξιν τοῦ ὅτι τὰ παρὰ τῶν μαρτύρ-
ων ἔργα ἀποδοχῆς ἔτυχον παρὰ τῷ θεῷ. ἐκεῖ-
να δὲ θόρυβον καὶ ταραχὴν καὶ τρόμον ἐμ-
ποιοῦσι τῇ ψυχῇ. ὅθεν τοσοῦτον διαφέ-

ρουσιν ἀλλήλων ὅτι τὰ μὲν ἡμέτερα μυ-
στήρια ἀληθινά ἐστι καθαρώτατα, ἀναβι-
βάζουσι ἡμᾶς πρὸς θεόν. καὶ προξε-
νοῦσι τὴν τοῦ θεοῦ βασιλείαν καὶ ἑνοῦ-
ται αὐτῷ τῷ θεῷ. εἰ μόνον τὴν προσή-
κουσαν εὐλάβειαν καὶ πίστιν ἔχωμεν
πρὸς τὴν παραδοθεῖσαν ἡμῖν ὑπ' αὐτοῦ πί-
στιν καὶ φυλάττωμεν αὐτὴν ὑγιῶς καὶ λό-
γοις καὶ ἔργοις. αἱ δὲ τῶν ἔξω καθάρσεις
οἷαι εἰσὶ τῶν ἀρνουμένων τὸν υἱὸν τοῦ θεοῦ
καὶ τὴν σάρκωσιν αὐτοῦ, πρὸς τὸ σκότος τὸ
ἐξώτερον ἄγουσι, καὶ τοῦ διαβόλου κλη-
ρονόμους ἐργάζονται ἐκείνους δηλονότι

οἵτινες ἀπατώμενοι καὶ πλανώμενοι παρ'
αὐτοῦ διὰ δωροληψίας, καὶ ἄλλων τινῶν
πεπλανημένων δογμάτων καὶ διὰ τῶν μω-
ρῶν αὐτοῦ καθάρσεων προσέχουσιν αὐ-
τῷ. ἢ καὶ ὡς νομίζουσι, τὸν θεὸν ἀσφαλῶς
καὶ οὐχ ὡς δεῖ προσκυνοῦσιν, ὅθεν μὲν ὅσα
ἀπὸ πίστεως ἀναμφιβόλως ὁμολογοῦμεν
περὶ τῆς σαρκώσεως τοῦ υἱοῦ τοῦ θεοῦ ταῦτ'
ἐστὶ τὰ κεφαλαιωδέστερα:-

## Ὅτι περὶ τῆς σαρκώσεως ἐκ λόγων ὡς ἐνδέχεται:-

ζ' Ἵνα δὲ καὶ λόγον ἔχωμεν συμφωνοῦντα ἡ-
μῖν τε τὰ ἀπὸ τῆς πίστεως, καὶ ἵνα ὅταν τις

τῶν ἀπίστων ὀνειδίζει ἡμῖν πῶς λέγομεν ὅτι
ὁ υἱὸς τοῦ θεοῦ ἐσαρκώθη καὶ ἀπέθανε,
λέγειν ἔχομεν, ὅτι οὐδὲν ἄτοπον ἀκο-
λουθεῖ. ἀλλὰ καὶ δικαιότατον καὶ πρε-
πωδέστατον, καὶ οὐκ ἄλλως ἔδει γενέσθαι
λέγομεν ἤδη, φανερὸν τοίνυν πᾶσιν ἀν-
θρώποις ὅτι τὰ λογικὰ πάντα ἀληθῶς καὶ
αὐτοὶ διὰ λόγου ἐνεργοῦσι, καὶ μάλιστα
φανερὸν ἐπὶ τῶν οἰκοδόμων καὶ τῶν ἄλλων
τεχνιτῶν πάντων· ὅτε γὰρ οἰκοδόμος συλλαμ-
βάνει ἐν τῷ ἑαυτοῦ νῷ τὸ εἶδος καὶ τὴν θέ-
σιν τῆς τυχούσης οἰκίας ὅτι τοιαδέ τις ἢ
τοιάδε πρέπει οἰκοδομηθῆναι, καὶ δὲ-

κείνου τοῦ λόγου ταύτην οἰκοδομεῖ, καὶ
πάλιν ὅταν ὑπό τινος αἰτίας διαλυθῇ,
ὁ οἰκοδόμος διὰ τοῦ αὐτοῦ λόγου ταύ-
την οἰκοδομεῖ, δι' οὗ καὶ πρότερον καὶ
κατὰ τὸν αὐτὸν λόγον, ἢ κατὰ πάντα τὴν
αὐτὴν οἰκίαν τῇ προτέρᾳ καὶ ὁμοίαν βού-
λεται ἀνοικοδομεῖν. ὁ δὲ τοιοῦτος λόγος
λέγεται ἐνδιάθετος. ὃς καὶ μᾶλλον τῶν
ἄλλων ἐκεῖνό ἐστιν ὡς εἴρηται τοῦ λόγου τοῦ
θεοῦ, κατὰ τοῦτο γὰρ τὸν ἐνδιάθετον λόγον
καὶ λογικοὶ λεγόμεθα· εἴτε κοιμώμεθα
εἴτε σιωπῶμεν. οὐ κατὰ τὸν προφορικόν.
οὗτος γὰρ οὐκ ἀεί ἐστι, πολλῷ οὖν ὁ ἐνδια-

θετος ἐστὶ τοῦ προφορικοῦ τιμιώτερος,
ὃς διὰ ῥημάτων καὶ ὀνομάτων ἔξωθεν
προφέρεται. οὗτος γὰρ δι' ἐκεῖνον συνίσταται,
καὶ ἔσχατόν τινα συμβεβηκὸς ἐστὶν ἐκείνω,
διὰ τοῦτο οὐ τοσοῦτον ἐστὶν οἰκεῖος ὁ προ-
φορικὸς λόγος εἰς παράστημα καὶ οἰκειότητα
τοῦ λόγου τοῦ θεοῦ λαμβάνεσθαι, ἀλλὰ μᾶλ-
λον ὁ ἐνδιάθετος ὡς τιμιώτερος. ἐπεὶ καὶ
ἀπὸ τῶν τιμιωτέρων ὀφείλομεν τὰ θεῖα εἰ-
κονίζειν. τιμιώτερον δὲ τοῦ ἐν ἡμῖν νοῦ
καὶ λόγου οὐκ ἔστιν ἐν τοῖς κτίσμασιν, ὅθεν
καὶ κατὰ τοῦτο λέγεται ὁ ἄνθρωπος εἰκὼν τοῦ
θεοῦ, καὶ γὰρ κατ' εἰκόνα ἐπλάσθη, πλὴν

καὶ οὗτος πάνυ λείπεται τοῦ λόγου τούτου.
ὁ μὲν γὰρ ἀνυπόστατος καὶ ἐνεργής· ὁ δὲ ἐν
διάθετος συμβεβηκός ἐστι τῷ νῷ· ἀπὸ τῶν
τῶν ὁρωμένων καὶ νοουμένων, διὰ τῆς αἰσθή-
σεως ἐπιγίνεται τῷ νῷ ἐφόσον μετὰ σώματ-
ος. ἐστὶ διὸ καὶ ἀτελής ἐστι καθ᾽ ὀλίγον συμ-
πλεκόμενος, καὶ ὕστερος. αὐτὸ γὰρ τὸ δυνά-
μενον νοεῖν καὶ ὁ τόπος τῶν νοητῶν ὁ δυνάμει ἐστὶν
ὁ νοῦς. ὅς ἐστιν οὐσία. τὰ δὲ τῷ νῷ δι᾽ ἑαυτοῦ
ἐπιγινόμενα ἀπὸ τῶν ἔξωθεν ὕστερον συ-
νεργούσης τῆς αἰσθήσεως μετὰ τὴν τελειώ-
σιν τοῦ ὀργανικοῦ σώματος, ταῦτα πάντα
εἰσὶ συμβεβηκότα, διὸ καὶ τὸν ὑποχεῖ δόν-

τὰ πολυμαθῆ λεγόμενα. ἐπεὶ γὰρ εἶναι καὶ ὁ θεὸς ἐστὶ λογικός, ὃ παρὰ πάντων ὁμολογεῖται· ὁ δὲ λόγος αὐτοῦ οὐκ ἔστι συμβεβηκός. τὸ γὰρ ἐν τῷ θεῷ συμβεβηκὸς λέγειν ἄτοπον, ἀλλ' ἔστιν ἐνυπόστατος καὶ ζῶν καὶ τέλειος, διὰ τοῦτο λεγόμενον ὅτι ὁ θεὸς διὰ τοῦ ἑαυτοῦ λόγου. τὰ πάντα ἐποίησεν, ἤγουν δι' αὐτοῦ ἐγένοντο πάντα, καὶ ὁ ἄνθρωπος δι' αὐτοῦ ἐπλάσθη, δι' αὐτοῦ καὶ συμβιβέντα πάλιν ἔπρεπεν αὐτὸν ἀνακαινισθῆναι, ἔπρεπε δὲ κατὰ τοῦτο. ἐπεὶ γὰρ τὰ λογικὰ κτίσματα, οἱ ἄνθρωποι ἡμιώτερον ἐστὶ τῶν ἀλλων ἀψύχων, καὶ ἐμψύχων καὶ ἀλόγων

ζώων. Καθόπερ ἐστὶν ὁ ἄνθρωπος λογικὸν καὶ αὐ-
τεξούσιον, καὶ ὅτι τὰ ἄλλα διὰ τὸν ἄνθρωπον
ἐγένοντο, ἵνα ἄρχῃ αὐτῶν διὰ λόγου καὶ
γνώσεως, τὰ γὰρ ἄλογα ζῶα δίχα βουλῆς
ποιοῦσι πάντ' εἰς ὅπερ ἂν κινηθῶσι, τῇ
φυσικῇ δυνάμει πρὸς ταῦτα κινούμενα,
καθ' ὃν τρόπον ἡ γῆ καὶ τὰ δένδρα ἀλόγως
καὶ ἀπροαιρέτως καὶ δίχα βουλῆς καρ-
ποφοροῦσι, διὰ τοῦτο ἔπρεπεν ἵνα καὶ
τοῦ ἐπιμελεῖσθαι ὁ ἄνθρωπος εὕρῃ τὸ ἐπανορ-
θωθῆναι, καὶ μᾶλλον ἢ ὅπερ αὐτοῖς τῶν
ὁρωμένων κτισμάτων συνέβαινε καταπε-
σεῖν καὶ συντριβῆναι, ἐπείπερ ὁ ἄνθρωπος τῆς

ἀληθινῆς ὁδοῦ καὶ εὐθείας ἐξετράπη,
καὶ ἐπλανήθη, καὶ ἀποπέπτωκε τῆς πα-
ρὰ τοῦ θεοῦ δοθείσης αὐτῷ τιμῆς. ἐπλα-
νήθη δὲ καὶ ἐξέπεσε διότι οὐκ ἐπολι-
τεύετο ὥσπερ ἔταξεν αὐτὸν ὁ θεὸς ἐξ ἀρ-
χῆς. ἀλλ᾽ ὅτι τὴν ἑαυτοῦ θέλησιν, ἣν καὶ ὤ-
φελε ζητεῖν τὰ ὅσια καὶ θεῖα διέστρεψεν
ὁ ἄνθρωπος, καὶ ἀντὶ τοῦ ἀγαπᾶν καὶ θέλειν
ταῦτα καὶ ζητεῖν, ἠρετίσατο τὰ γήινα καὶ
σωματικά, τὰς ὀρέξεις, καὶ ἐπιθυμίας, καὶ
ἡδονὰς, τὰς ἀλόγους, ὥρμησε δὲ ἐπὶ τοῦτο.
ἐπειδὴ ὁ ἄνθρωπος αὐτεξούσιος ἐπλάσθη, καὶ
τῆς ἀρετῆς οὐκ ἐσπούδαζεν ὁ θεὸς ἀνάγκην

ἐν τῷ αὐτῷ. ἵν' ἔχῃ στέφανον καὶ ἡ μετὰ τῆς

ἄξιον τοὺ μισθόν ὡς οἴκοθεν τὸ ἀγαθὸν προ-

αιρούμενος, κατὰ τὴν θέλησιν οὖν αὐτοῦ

ὁ αὐτὸς ἐπλανήθη καθὸ ἡ τελειότης τοῦ

αὐτοῦ θεωρεῖται καὶ ὠλίσθησε καὶ ἐξέπε-

σε τῆς δόξης τοῦ θεοῦ, δηλονότι διὰ τὴν

διεστραμμένην θέλησιν αὐτοῦ. διὸ καὶ

κατεδικάσθη τοὺ θάνατον, ὅτι θνητὴν εἶχε

φύσιν δυναμένην ἀποθνήσκειν. ὅπερ

διὰ φιλανθρωπίαν ἐγένετο τοῦ θεοῦ· ἵνα μὴ ἀ-

θάνατον ᾖ τὸ κακόν, ἀλλὰ παύηται τῆς ἁμαρ-

τίας, μεμνημένος τοῦ θανάτου καὶ φοβού-

μενος αὐτόν. καὶ γὰρ διὰ τοῦτο τὴν ψυχὴν τῷ

θνητῷ σώματι συνέπλεξεν. ἵν' ὅταν προ-

αιρεῖται τὰ φαῦλα διὰ τὴν αὐτεξουσιότη-

τα. περὶ ἁμάρτημα κολασθήσεται ἀπο-

θνήσκειν διὰ τὴν θνητότητα τοῦ σώμα-

τος. ὅπερ ἔμελλε πάντως ἀθάνατον

εἶναι εἴπερ πράττοι τὰ ἀγαθά. καὶ ὥσπερ

ὁ θεὸς βούλεται (ἐβούλετο) μετὰ τῆς θνητότητος καὶ

ἀθανασίας ἐπλάσθη. ὁ δὲ Κάϊν, οὐ

κολασθήσεται ἀποθνήσκειν ἐκ προσώπου

τοῦ θεοῦ, ὅτι θνητὴν φύσιν ὥσπερ ἡμεῖς οὐκ

εἶχε διὸ ἀμήχανον ἀποθνήσκειν διὰ ταῦτα

καὶ ὁ μὲν αὐτὸς μετανοεῖ μεμνημένος

τοῦ θανάτου. καὶ τοῦτο ποιεῖν δύναται

· · · ζῆ

ἐφόσον τῆ, μετὰ τοῦ σώματος τοῦ μεταβλη-
τοῦ τούτου. μετὰ δὲ τὸν θάνατον οὐ δυνή-
σεται, ἀλλ᾽ ἄτρεπτος διατελεῖ διαπαντὸς
τὴν ταχθεῖσαν χώραν αὐτῷ κατέχων. ὁ δὲ
δαίμων οὐ μετανοεῖ, διὰ τὸ τῆς ἑαυτοῦ φύ-
σεως ἀμετάβλητον, ὅπερ γὰρ θάνατος ἐν ἀνθρώποις,
τοῦτο ἔκπτωσις ἐν ἀγγέλοις, ὅπου οὖν ὁμο-
λογεῖται ὅτι παρὰ τοῦ θεοῦ κατὰ τὸν πρέ-
ποντα κρίνονται λόγον, ἔπρεπε τὸ ἀνίατον
ἐπανορθοῦσθαι νόσημα διὰ τοῦ ἑαυτοῦ
λόγου διὸ καὶ ἐξ ἀρχῆς ἡ τῶν ἀνθρώπων ἐπλά-
σθη φύσις. ἐπεὶ δὲ τὸ νόσημα τῶν ἀνθρώπων ἡ
ἁμαρτία ἦν, ὅπερ ἐνήργησεν ἡ κακή

θέλησις, ἔπρεπεν ἵνα καὶ ἐπανορθώ-
σεις οἰκεῖαι καὶ ἁρμόζουσαι πρὸς τὸ νό-
σημα. ὥσπερ καὶ οἱ ἰατροὶ τὰς θεραπεί-
ας ἀναλόγους ποιοῦσι πρὸς τὸ νόσημα καὶ
τὸν ἀσθενοῦντα καὶ διό φασι τὰ ἐναντία
τῶν ἐναντίων ἰάματα, οὕτω δ᾽ ἂν καὶ οἰ-
κεῖα καὶ ἁρμόζουσα ἡ θεραπεία τοῦ θεοῦ
μὲν αὐτὸς καθὸ αὐτεξούσιος, οἰκεία θελή-
σει προηρέθη ἀγαθόν, ὅτι καὶ οἰκεία θε-
λήσει προηρέθη τὸ κακόν. ἡ δὲ θέλησις
αὐτοῦ ἦγε καταδουλωθεῖσα καὶ κατευθύνε-
το πρὸς τὴν ὁδὸν τοῦ κακοῦ. καὶ τὰ οὐ-
ράνια καὶ θεῖα ἠγάπα, μισήσασα καὶ

ἀποῤῥίψασθαι τὰ φαῦλα, ἅπερ ἠθέλησε
πρότερον. ὥσπερ γὰρ ἡ διαστροφὴ τῆς θελή-
σεως ἐστὶ τὸ μισεῖν τὰ καλά, οὕτως ἡ ὀρθό-
της αὐτῆς τὸ τὰ καλὰ ἀσπάζειν. ταῦτα
γὰρ ἅπερ ὁ ἄνος ἐποίει πάντως ἦσαν οἰκεῖα
καὶ ἁρμόζοντα, καὶ οὕτως ἐδύνατο τὴν
ἐπανόρθωσιν εὑρεῖν. ἄγγελον μὲν οὖν τοῦ-
το ποιῆσαι οὐκ ἔδει. διότι ἀνοίκειον ἦν.
οὔτε γὰρ δι' αὐτοῦ ἐβλήθη ὁ ἄνος, ἵνα καὶ
δι' αὐτοῦ συμβιβὰς ἐπανορθωθῇ. οὔτε ὃς
ἥμαρτε τὴν θεραπείαν ἔμελλε ζητήσειν,
ἀλλ' ἄλλος ἀντὶ ἄλλου, ὅπερ οὐκ ἦν δίκαιον.
ἀλλὰ μὴν οὐδὲ ἦν κατ' αὐτὸν δυνατὸν ἦν τοῦτο

ὀργάζεσθαι διότι πάντες ἔνοχοι εἰσὶν
τῇ ἁμαρτίᾳ. καὶ γὰρ αὐτὸ πρῶτον τὸ ἐξ
ἀνδρὸς διὰ γυναικὸς μετὰ πάθους γεν-
νᾶσθαι, ἐκ τῆς προπατορικῆς ἁμαρτί-
ας κατάγεται, ὥστε εἰ μὴ κατ' ἄλλο, αὐτὸ κατὰ
τοῦτο γοῦν ἕκαστος ἁμαρτίᾳ ὑπόκειται,
διὰ τοῦτο γοῦν καὶ ἐγκρατὴς ὢν ὁ δαίμ
τῶν τυχόντων τῶν αἰτιῶν. ὅτι οὐδεὶς ἀνθρώπων ἀ-
πεπλανημένος ὢν παντάπασιν ἁμαρτάνει,
διὰ τὴν ἀπληστίαν αὐτοῦ, καὶ τὴν πλεο-
νεξίαν καὶ διὰ τὴν ὁμοιότητα τῆς ἁμαρ-
τίας, καθ' ἣν τοῖς ἄλλοις ἐκοινώνει. τοῖς μὲν
πλέον τοῖς δὲ ἔλαττον, καὶ καθὸ αὐτοῖς

ἐκείνων τὸ σημεῖον καὶ σφραγῖδα ἐν αὐ-
τοῖς ἔχει τῆς ἑαυτοῦ βασιλείας, τουτέστιν ἁ-
μαρτίας. ὥστε καὶ δικαίωμα. τοῦτο δὲ
καὶ οἱ πλεονέκται ποιοῦσιν, ἀφορμὰς
δὲ εἰσποιοῦντες ἀπὸ τῶν ἐλαττόνων καὶ γειτ-
νιαζόντων παρ' ἑκάστην· καὶ ταῦτα ἑαυτῶν
κληρονομίαν ποιεῖν, ἔστι λοιπὸν ἄνθρωπόν τινα
γίνεσθαι ἀναμάρτητον παντῃ, ὥστε μὴ
ἔχειν χρείαν τὰ ἑαυτοῦ ἐπανορθοῦν ἐλατ-
τώματα, ἀλλὰ τὰ ἄλλων αὐτὸν ἀναδεξάμε-
νον ἁμαρτήματα, ὑπὲρ ἐκείνων πρὸς τὸν
θεὸν ἀπολογήσασθαι, ὧν ἦσαν οἱ ἄνθρωποι πολέ-
μιοι καὶ ἐχθροί. τὰ φαῦλα καὶ ἁμαρτάν-

τες καὶ πράττοντα, τὸν ἀμείνονα τῶν ἀν-
θρώπων ὡς ἔφημεν, ἀδύνατον τὸν τοιοῦτον
γενέσθαι διὰ τὸ ἕκαστον ἁμαρτίαις ὑπεύ-
θυνον εἶναι. δῆλον γὰρ ὁ υἱὸς τοῦ θεοῦ
δι' οὗ καὶ τὰ πάντα ἐγένετο, ἐδόκησε τὴν
ἡμετέραν φύσιν ἀναμαρτήτως ἀναλα-
βεῖν, ὅθεν καὶ ἐκ παρθένου ἐτέχθη, ἵνα
παντελῶς ἐλεύθερος ᾖ τῆς προπατορικῆς
ἁμαρτίας, καὶ οὕτω διαβιῶναι, ὥστε μη-
δεμίαν ἁμαρτίαν ἐν αὐτῷ εὑρεθῆ, ἀλλὰ
πᾶσαν ἀρετὴν δι' ὧν ἐδίδαξε, καὶ ἔπρα-
ξε τοῖς αὐτοῖς παρέθετο τύπον καὶ ὑπο-
γραμμὸν πᾶσι γενέσθαι, πρὸς σωτηρίαν

καὶ τὸν τρόπον, καὶ τὴν ὁδὸν τῆς θεραπείας
τοῦ ἀνιάτου νοσήματος διὰ τῆς ἀρετῆς καὶ
τῆς ὀρθῆς ἐν αὐτοῦ θελήσεως προδιδάξαι.
Καὶ γὰρ ἔδειξε δι' ἑαυτοῦ τίνι τρόπῳ δυνη-
σόμεθα τὸ νόσημα ἡμῶν ἐπανορθῶσ-
θαι, πρῶτον μὲν γὰρ ἐφάνη διὰ τοῦ μυ-
στηρίου τούτου τῆς οἰκονομίας ὅτι ὁ θεὸς
τοσοῦτον ἠγάπησεν ἡμᾶς ὅτι καὶ αὐτὸν
γενέσθαι ἠθέλησε τὸν ἑαυτοῦ υἱόν. καὶ
διὰ τούτου παρέπεισεν ἡμᾶς ἀγαπᾶν αὐ-
τόν, ἐννοοῦντας τὴν ὑπερβάλλουσαν αὐτοῦ
περὶ ἡμᾶς ἀγάπην καὶ οὕτω τῇ αὐτοῦ
βοηθείᾳ καὶ χάριτι τοῖς ὑποδείγμασι τρόποις

ἑπόμενοι, ἢ ἐπιτευξόμεθα τυχεῖν τῆς μακαριό-
τητος, ἥτις ἐν τῇ τοῦ θεοῦ θεωρίᾳ συνί-
σταται. εἰ γὰρ αὐτὸς ἡμᾶς ἐκίνησε, τὴν
γὰρ ἀσθένειαν ἑαυτοῦ γινώσκων, ὁ αὐτὸς
οὐκ ἂν ἐνόμισε πρὸς ταύτην δύνασθαι
ἀφίξεσθαι, εἰ μὴ τὴν προθυμίαν ἡμῶν εἰς
ἑαυτὸν ἔβλεπεν οὖσαν τοιαύτην, ὥστε
τὸν θάνατον γενέσθαι, καὶ ὁ μὴ πρὸς ἑαυ-
τὸν ὁ δὲ ἡμᾶς προὐκαλεῖτο, εἰ γὰρ μὴ δυ-
νατὸν ἦν πρὸς τὸν θεὸν ἡμᾶς καὶ αὐτὸ ἐγχω-
ρεῖν ἀναλύεσθαι, οὐκ ἂν τὸ ἀσώματον
εἰς τὰ ἀσώματα προὐκαλεῖτο, ὥστε τὸ τι-
μιώτατον τοῦ θεοῦ κτίσμα ὁ αὐτός, ἐπεί-

γνωτὸν ἀληθῆ θεοῦ σταυροῦ τοῦ θεοῦ αὐτὸν γενέ-

σθαι, καὶ τῆς τῶν δαιμόνων ἀπεστερηκότας,

καὶ πλάνης, καὶ τῆς ἰάσεως ἔτυχεν, οὐ

γὰρ ἦν ἀνεκτὸν τοῦ θεοῦ ἀγαθὸν ὄντα τὸ ἑαυτοῦ

πλάσμα καταλιπεῖν ἀβοήθητον, ἔπειτα

ἐπεὶ ἦν λεγόμενον τὸ αὐτίνον ἁμάρτημα συνί-

στασθαι ἐκ τοῦ τὰ φαῦλα ἐπιθυμεῖν, καὶ

τὰ σωματικὰ ἀγαθά· τὰ δὲ αἰώνια ἀγα-

θὰ οὐδαμῶς, πῶς ἦν δυνατὸν τὸν χριστὸν

πειρασθῆναι καὶ πρότερον θεοῦ ἀναχθῆναι, δι'

ὧν ἔπραξε καὶ πέπονθε καθαρῶς ἔδειξε,

καὶ γὰρ πένητας γονέας προείλετο, τῷ δὲ

ἀρετῇ τετελέσας, ἵνα μηδεὶς ἐγκαυχᾶται

τῇ ἀσθενείᾳ

τῇ ἀσθένεια τῆς σαρκός. πτωχὸν εἶχε βίον,
ἵνα τοὺς ἄλλους διδάξῃ χρημάτων κατα-
φρονεῖν ἐστερημένος ἀξιώματος διεβίω. ἵνα
παύσῃ τοὺς ἄλλους τῆς ἀτάκτου περὶ τὰς
τιμὰς ἐπιθυμίας, πόνον, λιμόν, δίψαν, μά-
στιγας ὑπέμενεν ἐν τῷ σώματι. ἵνα διδά-
ξῃ τοὺς ἄλλους μὴ ἡδονῇ καὶ τρυφῇ καὶ ἀνέ-
σει προσέχοντας, ἀφίστασθαι τοῦ τῆς ἀρετῆς
ἀγαθοῦ, τέλος. θάνατον ὑπέμεινεν ἵνα μηδὲ τὶς
διὰ τὸν φόβον τοῦ θανάτου, καὶ ἀλήθειαν ἐγ-
καταλιμπάνῃ. τὸν ἐπονείδιστον διὰ σταυροῦ προ-
είλετο θάνατον, ἵνα μηδὲ τὶς ὑπὲρ τῆς ἀλη-
θείας τὸν ἐπονείδιστον ἐκβεπτῆται θάνατον,

ὥστε προσήκει τὸν θεὸν ἄνθρωπον γενέσθαι, ἵνα τῷ καθ' αὑτὸν ὑποδείγματι τοῖς ἀνθρώποις ἐπὶ τὴν ἀρετὴν προκαλέσηται, καθά φησιν ὁ μακάριος πέτρος. χριστὸς πέπονθεν ὑπὲρ ἡμῶν ἡμῖν ἐγκαταλιμπάνων ὑπογραμμόν, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ ἐπακολουθήσωμεν. ἐπεὶ δὲ οὐ μόνον τὰ τῆς ἀρετῆς ἔργα ἱκανά ἐστι πρὸς τὸ τυχεῖν τῆς αἰωνίου μακαριότητος. ἀλλὰ καὶ ἡ γνῶσις τῆς περὶ θεοῦ ἀληθείας. οὐκ ὢν δὲ δυνατὸν τινὰ περὶ θεοῦ ἀλήθειαν ἄνθρωπον διδάσκοντα πιστευθῆναι. ἔξεστι γὰρ καὶ ἀπατῆσαι καὶ ἀπατηθῆναι τὸν ἄνθρωπον. ἔδει καὶ κατὰ τοῦτο τὸν θεὸν ἄνθρωπον γενόμενον τὴν ἀληθῆ πίστιν δι-

δεῖξαι. ἵνα μηδὲν ἀμφίβολον ἔχῃ πῶς ἀ-
πὸ θεοῦ καὶ αὐτοῦ παρεχθεῖσα, ὅτι δὲ θεὸς
ὢν ἔδειξε διὰ τῶν θαυμάτων ἃ οὐδαμῶς
ἀνθρωπίνη φύσις δύναται ἐργάζεσθαι, ἀλλ' ἐ-
πειδὴ τοὺς μὲν τότε παρόντας καὶ ὁρῶντας
ἔπεισεν ὢν τότε πιστεύειν, οἱ δὲ μετὰ ταῦτα
περιεβάλλοντο ἂν πλάσματα ταῦτα εἶναι,
καὶ πρὸς τοῦτο ἐπινοηθῆ θεραπεία. εἰ
γὰρ ὁ τὴν πίστιν ταύτην διδάξας καὶ τὰ θαυ-
ματα ἐργάζεσθαι λεγόμενος πλούσιος ὢν
καὶ ἀρχὴν μεγάλην καὶ στρατεύματα εἶ-
χεν, ἔδοξεν ἂν τισὶν ὅτι ἡ ἐκείνου διδασκα-
λία καὶ τὰ θαύματα, πλάσματα ἐστὶν ἧς

ὑπὸ δυνάμεως καὶ βοηθείας αὐτίνης πα-
ρεδέχθησαν, ἵνα δὲ μηνδεὶς τοῦρ εἴπη θεῦ
δὲ ἔργον εἶναι πάντης ὁμολογήσῃ, πάν-
τα τὰ ἀσθενῆ καὶ ἀπερριμένα προτέλετο.
πέντητα μέρα, ἐνδεκάβιον. μαθητάς, καὶ
κήρυκας ἰδιώτας, ἠθέλησεν. ἀποδοκι-
μασθῆναι, καὶ καταδικασθῆναι μέχρι θα-
νάτου. ἵνα τοῖς ὕστερον ἡ ἐκείνου διδασκα-
λία καὶ τὰ θαύματα φανῆ, ὅτι οὐκ ἀπ᾽ αὐτίνης
δυνάμεως ἀλλὰ θεοῦ ἦσαν. ὅθεν καὶ ἐν τοῖς
ἐποίει καὶ ἔπασχεν ἡ αὐτίνη ἀσθένεια ἀλλὰ τῇ
θεία δυνάμει συνετέλετο. ἐν γὰρ τῇ γυμνώσει
πενιχρότητα, ἐφαίνοντο. σπήλαιον καὶ

σπάργανα, καὶ τοιαῦτα. ἀλλ' ὑπὸ τῶν ἀγγέλων
ὑμνεῖται, καὶ ἀστέρος ὁδηγοῦντος προσ-
κυνεῖται ὑπὸ τῶν μάγων. ὑπὸ τοῦ δια-
βόλου πειράζεται. ἀλλ' ἄγγελοι διακονοῦ-
σιν αὐτῷ. προσαίτης δὲ ἐβίω καὶ πένης.
ἀλλ' ἀνίστησι τοὺς νεκρούς. καὶ τοὺς τυφλοὺς
φωτίζει. θνήσκει σταυρῷ προσπαγείς. συναριθ-
μεῖται λῃσταῖς. ἀλλ' ὁ ἥλιος ἐν τῷ θανάτῳ
τούτου σκοτίζεται, ἡ γῆ τρέμει. συντρίβον-
ται πέτραι. μνημεῖα ἀνοίγονται τῶν νε-
κρῶν ἀνίστανται σώματα. εἰ τοίνυν τούτων
γινομένων ἔτι θρασὺς μετὰ ζηλωτής ἔτι
πρὸς τὸ πιστεῦσαι, καὶ λίθων σκληρότερος

ἔσται ὡς τούτων ἐν τῷ τοῦ χριστοῦ θανάτῳ σχι-
σθέντων· κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς
μαθητὰς προσείλετο καὶ εἰς τὸ κήρυγμα ἐ-
ξαπέστειλεν, ἀγραμμάτους, ἀσήμους, πέ-
νητας, ἀγενεῖς, οὓς ἀπερριμμένους προσέ-
ταξεν εἶναι καταφρονεῖσθαι. ὑπομένειν, μά-
ζω ἀντὶ πλοῦτον, τιμάς, δόξαν καὶ αὐτοὶ
δὲ οὕτως ἔχοντες θαύματα ἐποίουν· ἵνα
καὶ ἡ τούτων διδασκαλία θεία φαίνηται.
καὶ οὐκ ἐξ ἀνθρωπίνης σοφίας καὶ δυνάμεως, θαυ-
ματα ἐποίουν τὰ αὐτὰ καὶ μείζω ἢ ὁ διδάσκα-
λος τούτων· νεκροὺς ἀνίστη· αὐτὸς γὰρ εἶπεν
ὁ πιστεύων εἰς ἐμέ· τὰ ἔργα ἃ ἐγὼ ποιῶ

κἀκεῖνος ποιήσει· καὶ μείζονα τούτων
ποιήσει. ταῦτα δὲ ὑπεμίμνον πρὸς τὸ πά-
θος ἀποβλέποντες καὶ τὸν θάνατον τοῦ
χῦ· ὡς αὐτοῖς εἶπεν· εἰ ἐμὲ ἐδίωξαν καὶ
ὑμᾶς διώξουσιν. ἐπειδὴ ὁ αὐτὸς ζωὴν ἐχώ-
ρισε τῇ ἑαυτοῦ θελήσει, καὶ παρέβη καὶ
ἠδίκησε, κατὰ τοῦτο τὸν θῦ τὸ κτίσμα αὐ-
τοῦ τὸ τιμιώτερον τὸ ζημιώσας αὐτὸν τῆς
τῆς κληρονομίας αὐτοῦ ἐγένετο διὰ τῶν πο-
νηρῶν ἔργων καὶ διὰ τοῦτο ὤφειλετο αὐτῷ
τιμωρία μεγίστη. ὅσῳ καὶ ὁ ἀδικηθεὶς τῶν
μείζων πάντων ἀσυγκρίτως ἐστίν. οὐδεὶς
δὲ ἦν ἱκανὸς εἰς ἑαυτὸν ἀναδέξασθαι τὴν

τιμωρίαν τῆς τοιαύτης ἀδικίας ὡς ἔπρεπεν.
ἀνελάβετο τοιαύτην τὴν τιμωρίαν ὁ τοῦ θεοῦ
υἱὸς γενόμενος αὐτός. καὶ ἔπαθεν ὅσα ἡ-
μεῖς ὠφειλόμεθα παθεῖν, καὶ ἐλυτρώσατο ἡμᾶς
ἐκ τῶν ἐχθρῶν ἡμῶν, οἳ κατεῖχον ἡμᾶς ὡς
ἴδια λάφυρα, δουλωθέντας διὰ τὴν ἁμαρ-
τίαν, καὶ οὕτως ἐπληρώθη ἐν αὐτῷ ἡ δικαιο-
σύνη. ὁ γὰρ ἁμαρτάνων καὶ πταίων καὶ ἀδι-
κῶν τιμωρεῖσθαι ὀφείλει, ἐτιμωρήθη οὖν
ἀνθ' ἡμῶν ὁ υἱὸς τοῦ θεοῦ γενόμενος αὐτός.
καὶ τὸν τρόπον τοῦτον ἠκολούθησεν ἡμῖν
ἡ ἐλευθερία κατὰ τὸν δίκαιον λόγον. εἰ γὰρ
αὐτοτρόπως ἠλευθερούμεθα. ἢ [illegible]

τοῦ θεοῦ καὶ δυνάμει, ἢ δι' ἀγγέλου, οὐκ ἂν ἠ-
κολούθει τὸ μετὰ δικαιοσύνης, ἀγαθὰ μὲν
ὁ θεὸς δίκαιος ἐστίν· ὡς δὲ ὁ λόγος τῆς δι-
καιοσύνης ἀπαιτεῖ· οὕτως ἐλύετο, ἱκανὴ
δὲ ἐφάνη καὶ ἡ διάλυσις τοῦ πταίσματος τοῦ
ἀνθρώπου παρὰ τοῦ υἱοῦ τοῦ θεοῦ γινομένη, ὃς προσ-
λαβόμενος σάρκα, πάντως ἄπειρον τὴν ἀ-
ξίαν εἶχε, καθὼς θεὸς καὶ ὡς αὐτὸς ἀναμάρ-
τητος, ὅσον δὲ ἡ ἀξία τούτου ὑπερεῖχε,
τοσοῦτον ἠδυνήθη ῥᾳδίως καὶ τὴν τῶν ἀν-
θρώπων πρὸς τὸν θεὸν ἔχθραν διαλύσασθαι,
καὶ γὰρ ἴσμεν ὅτι ὁ μείζονα ἔχων ἀξίαν·
οἷον ἢ βασιλεὺς ἢ ἄλλος τις ὑπερέχων

παρακαλῶν ὑπὲρ διαλύσεως τινὸς ἀδικήμα-
τος, μᾶλλον εἰσακούεται, ἢ εἴ τις ὑπὲρ αὐ-
τοῦ τούτου τοῦ ἀδικήματος ἱκετείαν προ-
τείνοι, στρατιώτης τυχὸν ἢ ἕτερός τις ὑποβε-
βηκώς. ὅθεν καὶ κατὰ τοῦτο ἔδει τὸν θεάν-
θρωπον γενέσθαι. ἵνα ἄπειρον τὴν ἀξίαν
ἔχων δυνηθῇ τὰ ἁμαρτήματα διαλύσα-
σθαι τῶν ἀνθρώπων, ὅπερ ἄλλος οὐδεὶς ποτ᾽ ἂν ἐδυ-
νήθη· οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, οὐδὲ γὰρ ἂν ἐ-
ξισώθη τῇ ἀξίᾳ τοῦ θεανθρώπου λόγου.
διὰ ταῦτα τοίνυν οὐδὲ λέγειν ὅτι ἐδύνατο
ὁ θεὸς τοῦ ἀνθρώπου μὲν συγχωρῆσαι ἁπλῶς τὴν
ἁμαρτίαν. τοῦτο γὰρ τοῦ λόγου τοῦ ἀναξίου

ἀναιρεῖ, ὁ δὲ τὴν τάξιν τῶν πραγμάτων
οὐκ ἀναιρεῖ. ἀνάσωζει. ὅτε μὴν λέγειν
θεὸς ὅτι ἐδημιούργησε αὐτὰ διὰ λύσεως τῆς
ἁμαρτίας τῶν αὐτῶν καθαρά. ὁ γὰρ τὴν
τάξιν τῆς δημιουργίας ἀναιρεῖ. φαίνεται τοί-
νυν ὁ δὲ ὅτι διὰ τοῦ θανάτου τοῦ υἱοῦ
αὐτοῦ τὴν τῶν πραγμάτων ἐτήρησε τά-
ξιν καὶ κατὰ τὴν φύσιν καὶ κατὰ τὴν δη-
μιουργίαν, καὶ ἡμῖν οὐδὲν ἄλλο που ἀκο-
λουθεῖ λέγουσι τὸν υἱὸν τοῦ θεοῦ ἄνθρωπον γενέ-
σθαι, καὶ ἀποθανεῖν. ἀλλ᾽ ὡς ἐν τοῖς τοῦ
θεοῦ ἔργοις οὐ τοῦτο σκοπεῖν δεῖ, ὅτι τὸ
δεῖ καὶ δι᾽ ἑτέρου τρόπου ἐδημιούργησε γενέ-

σθαι. ἀλλὰ πῶς ἂν φιλοπόλεμος ἐγίνετο. καὶ

ἢ μὴ τὸ ἄριστον ἐστίν. οὕτως ὡς εἴρηται ἰδόντι

λεγόμενον ὁ θεὸς ἀπέθανε τῶν ἀπὸ Ζήνωνος τις

πῶς δύναται γενέσθαι τὸ πῦρ διαπορεῖ. ὥσ-

τε νομίζειν ὅτι ὁ θεὸς εἰς ἄτοπα μεταβληθῇ

ἀλλ' ἡμεῖς τὸ πῦρ οὐχ οὕτω λέγομεν, τὰ γὰρ σώ-

ματα ἐστὶ τὰ μεταβάλλοντα εἰς ἄλληλα. ὡς

ἀὴρ, πῦρ γίνεται. εἰς πῦρ μεταβάλλοντα τὰ

δὲ ἀσώματα τῶν δραστικῶν τῆς ἑαυτῶν δυ-

νάμεως ἑνοῦνται τοῖς σωματικοῖς. καὶ

διὰ τούτων διήκουσιν, ὥσπερ ἡ ψυχὴ τῷ σώ-

ματι ἑνοῦται· ὁ δὲ ἡ ψυχὴ τῷ σώματι ἑνου-

μένη οὐ μεταβάλλεται κατ' οὐσίαν πολλῷ

μᾶλλον ὁ ἁπλούστατος δὲ πλεόν ἢ αὐτόποι
ης δύναται ἑνοῦσθαι τοῖς σώμασι μὴ με-
ταβαλλόμενος, ἀλλὰ καὶ τὸ πῦρ τὸν σίδηρον
πύρινον ποιῶν. οὐ μεταβάλλεται ἐς τὴν
τοῦ πυρὸς οὐσίαν ἀλλ' ἐν μὲν τοῖς κλί-
μασι. κατὰ ἄλλον τρόπον ὁ δὲ οἶνος καὶ τού-
τοις ἑνοῦται, τοῖς μὲν πλέον τοῖς δὲ
ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς αὐτῶν
φύσεως καὶ λεπτότητος μετέχεσθαι λεγό-
μενος ἀμεθέκτως, ἐν δὲ τῇ προσλήψει
ταύτῃ τῆς σαρκός, καὶ ὁ θεὸς ἑαυτῷ ὑ-
πεστήσατο ἁπλούστερον τρόπον καὶ ἐπ'
ἐκείνου μόνου συμβαίνει, καὶ ἀπορρητό-

τερον, καὶ μεῖζον ἢ ὁ νοῦς καταλαβεῖν ἐξισ-
χύει, ἐπείπερ οὐδὲ τὸ δεκτικὸν τῆς θείας
φύσεως ὁ νοῦς ὁ ἀνθρώπινος καταλαβεῖν δύνα-
ται, καὶ τὸ θεῖον ἥνωται ὥστε τὰ συναφθέν-
τα ἀχώριστα διαμεῖναι. εἰ καὶ ἡ ἀνθρωπίνη ψυ-
χὴ ἐν τῷ καιρῷ τοῦ θανάτου, τοῦ σώματος
πρὸς ὀλίγον διέστη. καὶ διὰ τὴν ἄκραν ἕνω-
σιν τὸ ἕτερον τῷ τοῦ ἑτέρου ὀνόματι λέγε-
σθαι, καὶ τὸν θεὸν ἄνθρωπον, καὶ τὸν ἄνθρωπον θεόν. καὶ
ἀμφότερα τοῦτ' ἔστι τὴν μίαν ὑπόστασιν τὸν
αὐτὸν θεὸν καὶ ἄνθρωπον κατ' ἄλλο καὶ ἄλλο ὥσπερ
καὶ ὁ ἄνθρωπος ὁρῶν καὶ ἀκούων οὐ κατὰ τὸ αὐ-
τὸ καὶ ὁρᾷ καὶ ἀκούει. ἀλλὰ τὸ μὲν κατὰ

τὴν ὀρεκτικὴν δύναμιν. τὸ δὲ παθητικὸν

ἀκουστικόν. παράδειγμα δὲ τῆς ἑνώσεως

ταύτης οὐκ ἔστιν οὐδὲν οἰκεῖον, εἰ μὴ ὥσπερ

φυσικὴν δύναμιν τὴν ἐν τοῖς σώμασι

θεωρουμένην ὡς παράδειγμα παραβα-

λούμενον, ἢ τὸν ἐν καρδίᾳ λόγον, ὃς διὰ τῆς

φωνῆς ἔξωθεν δηλοῦται, ἢ τὴν ψυχὴν πρὸς

τὸ σῶμα, ἢ τὸ πῦρ πρὸς τὸν σίδηρον ἐκ

πυρούμενον ὑπ' αὐτοῦ, οὐδὲν εὑροῦμεν οἰ-

κεῖον, ταῦτα γὰρ ἀνυπόστατά ἐστι· καὶ μᾶλ-

λον περιέχονται οὐ περιέχουσιν· ὁ δὲ

υἱὸς τοῦ θεοῦ ἐνυπόστατός ἐστι καὶ ζῶν καὶ

τέλειος, καὶ ὡς τιμιώτερον καὶ κρεῖττον

περιέχει τὴν προσληφθεῖσαν ἀνθρωπίνην φύσιν. οὐ μὴν οὐδ᾽ ὥσπερ λέγομεν ὅτι ἡ ἀνθρωπίνη φύσις ἐκ δύο μερῶν σύγκειται σώματος καὶ ψυχῆς, καὶ γὰρ ἡ ψυχὴ εἰ καὶ τιμιωτέρα τοῦ σώματος ὁμολογεῖται, ἀλλ᾽ οὖν ἀτελής ἐστιν εἰς τὸ συστῆσαι μόνη τέλειον ἄνθρωπον, κατὰ τοῦτον τὸν τρόπον λέγομεν ὅτι ἡ τοῦ Χριστοῦ φύσις ἐκ μερῶν σύγκειται τῆς θεότητος καὶ ἀνθρωπότητος. ἡ γὰρ θεότης μέρος οὐκ ἔστιν. ἀλλὰ γὰρ ἐστὶ πᾶν μέρος, καὶ τῇ θεότητι τελειοτάτῃ οὔσῃ, οὐδὲν προστίθεται. ἀλλ᾽ οὐ τῷ λέγομεν, ὅτι ἡ ὑπόστασις τοῦ Χριστοῦ ἐστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος. οὐχ ὡς ἐκ ἑκατέρου τούτων με-

ρεις οὗτος. ἀλλὰ διὰ τὴν ἀμετάβλητον ἕνω-
σιν εἰς ἓν τῶν δύο φύσεων, ἀλλ' οὐδὲ λέγομεν
ὅτι ἐκ δύο οὐσιῶν μία τις τρίτη ἀνε-
κράθη φύσις, ὥσπερ οἶνος καὶ ὕδωρ εἰς
ἓν ἀνακραθέντα, καὶ μηδέτερον ὄν· ἀλλ'
ὅτι καὶ μετὰ τὴν ἕνωσιν διαμένουσι δύο
φύσεις διακεκριμέναι ἀλλήλων, οὐ καθ' ὑπό-
στασιν· μίαν γὰρ ὑπόστασιν ὁμολογοῦμεν,
ἀλλ' ὅσον κατὰ τὴν τῶν φύσεων ἰδιότητα,
ἐπεὶ δὲ ὡμολόγηται ἡ τοῦ θεοῦ φύσις ἀνθρώ
μείζω τιμιωτέρα. τοῦ δὲ τιμιωτέρου τὰ ἐ-
λάττονα ἔχονται καὶ οἷον ἐκκρέμανται,
διὰ τοῦτο οὐ λέγομεν ὅτι ἡ ἀνθρωπίνη φύσις τὴν

τοῦ θεοῦ προσελάβετο φύσιν αὐτὸ δὲ τὴν ἀν-
θρωπίνην ἀνελάβετο φύσιν οὐχ ὡς εἰς τὴν
μεταβληθεῖσαν αὐτῶς τῷ θεῷ προσπεφυκῆαν.
σπαθοῦ καὶ ὡς τιμιώτερον, ἀλλὰ μετὰ τὴν ἀν-
θρωπίνην φύσιν. ἔχεται δὲ αὕτη ὑπὸ τῆς θείας
φύσεως, ὥσπερ ὁ μὲν αὐτὸς ἀρχὸς δεύτερον
οὐ καὶ τιμιώτερον, ἀλλὰ τὴν χεῖρα λέγομεν
αὐτὸ τοῦ αὐτοῦ ἡ χεὶρ. εἰ τοίνυν μερὴ ἦσαν
ἡ θεότης καὶ ἡ ἀνθρωπότης ὡς ἐξ αὐτῶν συνί-
στασθαι μίαν φύσιν κοινὴν ὡς ἐκ ψυχῆς καὶ
σώματος αὐτοῦ. λέγομεν δὲ ὅτι καὶ ὁ θεὸς
ἐστὶ τοῦ αὐτοῦ. καὶ ἡ ἀνθρωπότης τὴν θεότητα
ὡς καὶ ἐπὶ τοῦ σώματος ἐστὶ καὶ τῆς ψυ-

χῆς, καὶ γὰρ ἡ ψυχὴ λέγομεν ἔχει σῶμα καὶ
τὸ σῶμα ἔχει ψυχήν. ἐπεὶ τοίνυν ὁ μονογενὴς
υἱὸς τοῦ θεοῦ, τουτέστιν ὁ τοῦ θεοῦ λόγος φύ-
σιν ἀνθρωπίνην διὰ τῆς προσλήψεως ἔχει, ἀκο-
λουθεῖ τοῦτον εἶναι ὑποκείμενον ἢ ὑπό-
στασιν ἢ πρόσωπον τῆς ἀνθρωπίνης φύσεως, τὸ
γὰρ τινὰ φύσιν ἔχον ὑπόστασις λέγεται τῆς
φύσεως ἐκείνης, ὥσπερ τὸ ἵππου φύσιν
ἔχον ὑπόστασις ἢ ὑποκείμενον τοῦ ἵππου
λέγεται εἶναι, καὶ εἴπερ ἡ φύσις ἡ ἐχο-
μένη νοερά ἐστι τότε μᾶλλον πρόσωπον
λέγεται, πάλιν εἰ ἐξ ἀϊδίου ἔχει τὴν θείαν
φύσιν, οὐ κατὰ τρόπον συνθέσεως, ἀλλὰ-

πλὴν τῆς ἰδιότητος λέγεται καὶ τῆς θείας φυ-
σεως ὑπόστασις ἢ πρόσωπον καθ᾽ ὅσον δη-
λονότι δι᾽ αὐτοῦ ἐστι ἐκφαίνεσθαι τὰ θεῖα
τοῖς ἀνθρώποις ὀνόμασι. ὁ τοίνυν υἱὸς τοῦ
θεοῦ ὑπόστασις ἢ πρόσωπον ἐστὶ τῶν δύο
φυσεων τῆς θείας δηλαδὴ καὶ τῆς ἀνθρωπίνης
ἐν δυσὶ φύσεσιν ὑφεστώς. εἰ δὲ λέγει τις
ὅτι ἐπεὶ ἡ ἀνθρωπίνη φύσις οὐκέτι συμβεβη-
κὸς ἐν ἄλλῳ ἀλλὰ πρᾶγμα ὑφεστὼς καὶ
οὐσία μερικὴ ἡ ἀνθρωπίνη παρὰ τὴν ὑπόστασιν
τοῦ θεοῦ λόγου δοκεῖ, δηλονότι δύο ὑποστά-
σεις εἶναι ἐν τῷ χριστῷ, δεῖ κατανοεῖν, ὅτι ἐκεῖνο
ὀνομάζεται ὑπόστασις ὃ οὐ περιέχεται

ὑπ᾽ ἄλλου

ὑπὸ ἄλλου ἀρχοειδεστέρου καὶ τιμιωτέρου.
ἡ γὰρ τοῦ ἀνθρώπου χείρ. οὐσία μὲν αὐτῆς ἐστίν. οὐ
μὴν ὑπόστασις λέγεται, ἀλλὰ γὰρ αὐτὴν ἄλ-
λό τι ἀρχοειδέστερον καὶ τιμιώτερον οἱ
ὁ ἄνθρωπος, εἰ γὰρ μὴ τοῦτο ἦν οὐδὲν ἐκώλυε
πρόσωπα πολλὰ καὶ πολλὰς ὑποστά-
σεις ἐν τῷ ἀνθρώπῳ ὁμολογεῖν, καὶ ἡ φύσις
τοίνυν ἡ ἀνθρωπίνη ἐν τῷ χριστῷ ὑπὸ τιμιωτέ-
ρου τῆς θείας φύσεως περιέχεται, καὶ
διὰ τοῦτο ἐχομένη ὑπ' ἐκείνης, οὐκέτι καὶ
ἰδίως ὑπόστασις λέγεται, εἷς δὲ ἐστι διὰ
τὴν τῆς ὑποστάσεως ἤτοι προσώπου ἑνό-
τητα, ἀλλ' οὐ δύο κυρίως δύναται λέγε-

σθαι, δύο μὲν τοι φύσεις ἔχειν ὁ χριστὸς οἰκείως
ῥηθήσεται, καὶ γὰρ ἐν μιᾷ ὑποστάσει ὁ αὐτός
ἐστι θεὸς καὶ ἄνθρωπος, καθάπερ πολλάκις εἴρη-
ται. δεῖ τοίνυν τὸ περὶ τῆς σαρκώσεως τοῦ
υἱοῦ τοῦ θεοῦ μυστήριον ἀναμφιβόλως ὁ-
μολογεῖν, καὶ γὰρ ἡ χριστιανικὴ πίστις ἀρ-
χικῶς μὲν ἐν τῇ τῆς ἁγίας τριάδος ὁμολο-
γίᾳ συνίσταται· ἰδίως δὲ ἐν τῷ σταυρῷ καυχᾶ-
ται τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ ἐν αὐτῷ τὴν
σωτηρίαν ἀπεκδεχόμεθα, ὁ γὰρ τοῦ σταυροῦ λό-
γος ὥς φησι παῦλος, τοῖς μὲν ἀπολλυ-
μένοις μωρία ἐστί, ἀλλὰ τοῖς σωζομένοις
ἡμῖν δύναμις θεοῦ ἐστι· καὶ ἐπεὶ τὸ πρέ-

που καὶ ἡ πρὸς εὐσεβῆ διάνοια ἐπὶ τοῦ
πάθους καὶ τοῦ θανάτου τοῦ χῦ θεωροῖ.
τὸ σωτήριον σοφίας βάθος εὑρήσει ὡς ἀληθῶς
περὶ τούτων λογιζομένῳ μείζω καὶ πλείω
θεωρήματα ἐξαντλᾶν, καὶ τὴν παραλαμ-
βάνειν ἀληθὲς εἶναι, ὅ φησιν ὁ αὐτὸς ἀπό-
στολος. ἡμεῖς κηρύττομεν χν ἐσταυρωμένον,
ἰουδαίοις μὲν σκάνδαλον, ἕλλησι δὲ μω-
ρίαν, ἡμῖν δὲ τοῖς κλητοῖς ἰουδαίοις τε καὶ
ἕλλησι, χν θεοῦ δύναμιν, καὶ θεοῦ σοφίαν, καὶ
πάλιν. τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον
τῶν ἀνθρώπων ἐστίν. ὥστε διὰ τῆς περὶ τοῦ σταυ-
ροῦ πίστεως, καὶ τῆς κατὰ τὴν ἐν [illegible] τοῦ

ἢ οὐ τοῦ θεοῦ ὁμολογίας, ἧς ἐλπίζομεν ἀπὸ

τῆς τοῦ θεοῦ βοηθείας, καὶ ἡμῖν ἐν τῷ παρόντι

διὰ τῶν μυστηρίων δίδωσι καὶ τῶν τοῦ αὐ-

τεξουσίου ἔργων μετὰ θάνατον ἀξιωθῆ-

ναι τῆς μελλούσης μακαριότητος, ἥτις

ἔσται τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ τῆς

τελευταίας κρίσεως γενομένης:-

περὶ τῆς μελλούσης τῶν νεκρῶν ἀναστάσεως:

ή Καὶ γὰρ μετὰ τῶν τῆς πίστεως κεφαλαίων, καὶ

ἀνάστασιν νεκρῶν ὀφείλομεν πιστεύειν, πρῶ-

τον μὲν ὅτι ἐπεὶ δίκαιός ἐστιν ὁ θεὸς, ἀνάγ-

κη αὐτὸν ἀμείψασθαι τοὺς μὲν πονηροὺς

κακοῖς, τοὺς δὲ ἀγαθοὺς, ἀγαθοῖς. εἰ δὲ

τοῦτ' ἐστίν,

τοῦτο ἐστί, ἔσται καὶ ἀπόλαυσις καὶ κόλα-
σις. εἰ δὲ ταῦτα, κρίσις. εἰ δὲ κρίσις καὶ
ἀνταπόδοσις, ὡς γε δεῖ δίκαιος ἐστὶν ὁ θεὸς,
ἔσται ἀνάστασις δὲ σωμάτων· ἡ γὰρ ψυχὴ
ἀθάνατος ἐστί· καὶ γὰρ τὸ σῶμα ὄργανον
ἐστὶ τῆς ψυχῆς, καὶ ὡς ὄργανον κοινωνεῖ
τῇ ψυχῇ ἐν οἷς ἂν αὕτη ὁρμήσῃ, κατά
τε ἐναντία, καὶ μή, διόπερ ὀφειλόμενον,
ἵνα τῶν αὐτῶν κληρονομήσῃ μετὰ τῆς ψυ-
χῆς καὶ τὸ σῶμα, δόξης ἢ τιμωρίας, οἷς
εἰ μὴ πιστοὶ τῆς διὰ τὰς σωματικὰς φθο-
ρὰς τῶν σωμάτων καὶ παντοδαπὰς ἀλ-
λοιώσεις. ἀλλ᾽ ἄπειρος τὸ τοῦ θεοῦ παντοδυ-

ναμεν οὐδὲν ἀδύνατον εἶναι. ὡς πιστεύο-
μεν ὅτι πάντα ὁ δεσπότης γενέσεως
αὐτῶν καὶ ὅτι διὰ παντὸς ὥσπερ ἐνδελεχεῖ
συνέχει. εἰ γοῦν τοῦτο ὁμολογεῖται, οὐ-
δὲ τὸ ἀνθρώπινον σῶμα εἰς μυρίας μεταβο-
λὰς μεταβαλλόν, τὸν πανταχοῦ παρόντα καὶ
πάντα συνέχοντα διαδράσει ἐντὸς ὄντος τοῦ
κόσμου, ἀλλ᾽ ἅμα τῷ τούτου θελήματι τὸ ἔρ-
γον ἀκολουθήσει· διὰ τὸ παντοδύναμον
τοῦ θεοῦ. εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
τὰ πάντα παρήγαγε, πῶς εἰς τοῦτο ἀδυνα-
τήσει, καὶ ταῦτα δὲ τῆς ὕλης ὑποκειμένης, εἰ
καὶ εἰς τὸ ἐλάχιστον διὰ πολλῶν καὶ ποικί-

λων τῶν μεταβολῶν περιελήλυθεν, οὐ γὰρ
παντάπασιν ἡ ὕλη ἐφθάρη μὲν δὲ ὅπω-
σοῦν, ἐπεὶ ἡμῖν ἄδηλος. εἰ δὲ καὶ αὕτη ἡ ὕ-
λη πολλοῖς εἰς γένεσιν συντελέσασε, τὸ μὲν
ἀνήκον ἑκάστῳ ἀναληφθήσεται. τὸ δὲ
λεῖπον ἡ θεία φύσις ἀναπληρώσει. καὶ
ἀπὸ τῶν σωματικῶν δὲ ἔστιν εἰκόνα τινὰ
καὶ δεῖγμα λαβεῖν. ὁ γὰρ σῖτος ἐν γῇ ση-
πόμενος ἀναβλαστάνει πάλιν, καὶ εἰς τὸ αὐ-
τὸ εἶδος τοῦ σίτου ἀποκαθίσταται, ὅπερ
καθ' ἕτος ὁρώντων, ἀπὸ τῆς συνηθείας οὐ-
δὲν θαυμαστὸν εἶναι νομιζόμενον. εἴ τις
δὲ αὐτοῖς διελέγετο περὶ τούτου μηδέπω-

πελοῦρ ἴδουσι, μὴ δὲ τῶ τῶν σπερμάτων
φύσιν ἐπισημήνοις, οὐκ ἂν ἐπιστεύθη,
φασὶ δὲ καὶ τὸ ζῶον περὶ τὰ τῆς ἀνατο-
λῆς μέρη, πολλὰ ἔτη ζῆν. εἶτα τελευ-
τῶν ἀπὸ τῆς αὐτοῦ σήψεως χωρὶς ζωου-
σίας οἷον σκώληκα γεννώμενον. τὸ αὐτὸ
ζῶον ἐν τῷ αὐτῷ ἔθει ἀποκαθίστασθαι,
καὶ πάλιν ἐπ' αὐτοῦ τὸ αὐτὸ γίνεσθαι κατὰ
τὴν ἀπὸ θεοῦ τεταγμένην τῶν τοσούτων
χρόνων περίοδον, καὶ ἄλλα ζῶα ἐξ αὐτῆς
ὕλης γεννῶνται οὐ κατὰ δύναμιν ἀνθρωπίνην,
καὶ οὐ τὰ αὐτὰ ἐκ τῶν αὐτῶν ἀεί. ὥσπερ
σφῆκες μὲν ἐκ τῆς τοῦ ἵππου κεφαλῆς.

ἐκ δὲ τοῦ βοὸς μέγιστον, καὶ ἀγαθὸν ἐξ ἀλ-
λων, τοῦ θεοῦ διὰ τούτων ὑποδεικνύντος
ἡμῖν μὴ ἀπορεῖν, ἐπὶ τῶν παραδοξοτέρων
ὧν ὁ θεὸς διδάσκαλος ἐγεγόνει. καὶ αὐ-
τὸς μόνος ὡς τὰ πάντα δυνάμενος τε-
λέσαι δύναται. τῆς ἀναστάσεως τοίνυν
καὶ τῆς ἀνταποδόσεως ἀναιρουμένων,
πλήθη ἀτόπων συμβήσεται ὁμολογεῖν·
ὅτι τὰ ἄλογα ζῷα κρείττονα ἡμῶν ἐστί·
καθότι ἐκεῖνα μὲν ζωὴν ἄλυπον ἔχου-
σιν, ἡμεῖς δὲ καὶ λυπούμεθα καὶ κιν-
δυνεύομεν, ἐξαιρέτως διὰ τὴν περὶ
θεοῦ ἀλήθειαν, τίνος γὰρ ἕνεκα πολλῶν

ἁπάντων ἀρετὴν καὶ σωφροσύνην ἔχοντα τῶν
τοῦ κόσμου καταφρονήσαντα ἡδέων, καὶ
ὑπὲρ ἀληθείας μέχρι θανάτου ἀντέξη-
σαν, ἀλλὰ καὶ δῆλον, ὅτι τιμιώτεροι πάν-
των εἰσὶν οἱ ἄνθρωποι, καὶ δίκαιος ὢν ὁ θεὸς,
οὐ κἂν συνεχώρησε ματαίως οὕτω ταλαι-
πωρεῖσθαι τὸ τιμιώτερον ἡμῶν κτίσμα,
ὃ κατ' εἰκόνα ἑαυτοῦ ἐποίησε. καὶ πρὸς
ἑαυτὸν δίκη, μὴ μέλλων ἀποδιδόναι τοὺς
μισθοὺς ἑκάστῳ, κατὰ τὸ δίκαιον, καὶ τὴν
ἀναλογίαν τῶν καμάτων αὐτῶν, ἀναιρε-
θήσεται δὲ καὶ ἡ πρὸς τὸν θεὸν λατρεία, καὶ ἡ
πρὸς τοὺς γονέας τιμή, καὶ ἡ πρὸς ἀλλή-

λους αἰδώς, καὶ εὐλάβεια, καὶ φιλία καὶ
ὀρθότης, καὶ κοινωνία πάντων, καὶ οἱ νό-
μοι καὶ τὰ κριτήρια, καὶ πάντα τὰ τοι-
αῦτα. διὰ τί γὰρ ἔσονται ταῦτα τίνος ἕνεκα,
ἐπεὶ πρὸς οὐδὲν ἀφορῶσι καὶ τοῦ τοιούτου
λόγου κρατοῦντος ἀναγκασθησόμεθα
ὡς θηρίοις χρῆσθαι ἀλλήλοις καὶ μήτε
μεῖζον βρωμάτων, ἢ πομάτων ἢ τινὸς
τῶν τοιούτων εἰδέναι, ἀλλὰ πᾶσαν ἡδονὴν
ζητήσομεν καὶ τὸν ἄγριον καὶ διαλελυμέ-
νον ζήσομεν βίον. ἃ δὴ πάντα ἄτοπα καὶ
ἀνάρμοστα καὶ τῷ δημιουργῷ πάντων
θεῷ καὶ τῷ ἀξιώματι τοῦ ἀνθρώπου, πρὸς τοῦ-

τοις. ὅτι φυσικόν ἐστι τὸ εἶναι συνημμέ-
νον τῇ ψυχῇ τὸ σῶμα· παρὰ φύσιν δέ ἐστι τὸ
χωρίζεσθαι τῆς ψυχῆς αὐτό. ἔπεται ἀναγ-
καίως τοῦ σώματος τῆς ψυχῆς παρὰ φύ-
σιν χωριζομένου, μὴ διαμένειν εἰς τὸ ἄπει-
ρον, οὕτω κεχωρισμένον, καὶ γὰρ κατὰ φύ-
σιν τὸ σῶμα τῇ ψυχῇ ἥνωται παρὰ τοῦ θεοῦ
ὥσπερ ἡ ὕλη ἐστὶ πρὸς τὸ εἶδος. ὁ δὲ θά-
νατος διὰ τὴν ἁμαρτίαν ἐπελθὼν τὴν δια-
στασιν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐποίη-
σεν, παρὰ φύσιν οὖν ἡ διάστασις τούτων
ἐγένετο. τὸ δὲ παρὰ φύσιν οὐκ ἐπὶ πολὺ
διαμένει, οἷον, κατὰ φύσιν φέρεται ὁ λί-

θος ἀεὶ εἰς τὸ κάτω. παρὰ φύσιν δὲ εἰς τὸ ἄνω, ὅταν τις αὐτὸν βίᾳ ὠθήσῃ, τότε γοῦν τὸ βιαίως καὶ παρὰ τὴν φύσιν τοῦ λίθου, οὐ διαμένει ἐπὶ πολύ, ζητούμενος γὰρ πάλιν ἔρχεται εἰς τὸ κατὰ φύσιν αὐτοῦ τὸ κάτω. καὶ τοίνυν ἡ ψυχὴ τοῦ σώματος χωριζομένη ὅπερ ἐστὶ παρὰ φύσιν, οὐκ ἐν τούτῳ διαμένει εἰς τὸ ἄπειρον. τὸ γὰρ παρὰ φύσιν ὡς εἴπομεν, ζητούμενος ἔρχεται εἰς τὸ κατὰ φύσιν ἀνακάμπτεται. τοίνυν κατὰ τὴν τοῦ θεοῦ δικαιοσύνην ἐπαίρει ἡ ψυχὴ τὸ ἴδιον αὐτῆς σῶμα ὅπερ ἐστὶ κατὰ φύσιν. καὶ εἰς τὸ ἄπειρον ἀδιάλυτον ἔσται, καὶ τοῦτο

ἔστιν ἀνάστασις. ἡ γὰρ ἀνάστασις, δευτέρα
τοῦ πεπτωκότος λέγεται στάσις. οὐ μέντοι
ἀπορεῖν δεῖ πῶς ἑκάστη ψυχὴ τὸ ἑαυτῆς
ἐπιγνώσεται σῶμα. ἐστὶ γὰρ τῇ ψυχῇ πρὸς
τὸ σῶμα οἰκειότης ἄδηλος καὶ ἄρρητος
ἡμῖν. ὥσπερ γὰρ οὐκ ἔστιν οὐδὲν σῶμα
ἀνθρώπινον τοῖς ἐπιθεωρουμένοις αὐτῷ χα-
ρακτῆρας ἔχον κατὰ πάντα τοὺς αὐτοὺς
ἑτέρῳ σώματι, οὕτω καὶ τινα ἀνάγκη μετὰ
τούτων ἰδιότητα δώσομεν ἑκάστῃ ψυχῇ,
ἐνυπάρχειν πρὸς τὸ ἑαυτῆς σῶμα, καὶ γὰρ
ἡ ψυχὴ σώματος ὡρισμένου ἐντελέχεια,
τουτέστιν ἐνέργεια καὶ εἶδος ἐστί, διὸ καὶ

φυσικῶς πρὸς μόνον τὸ οἰκεῖον σῶμα ἐθ-
πιὼ ἔχει καὶ συμμετρίαν, ὅπερ καὶ χω-
ρισθείσης τῆς ὕλης αὐτὴ διαμένει, ὅθεν
ἕπεται ἀναγκαίως ταύτην μὴ εἶναι κα-
τὰ φύσιν εἶδος τῆς ὕλης τοῦ ἀνθρωπίνου σώ-
ματος. ταύτην δὲ ἐκείνου, καὶ αὐτοῦ μη-
δέποτ' ἂν δυνηθῆναι γίνεσθαι, ὅπερ καὶ
τῆς διακρίσεως τῶν ψυχῶν πρὸς ἀλλήλας
αἴτιον ἐστί. τὸ γὰρ πλῆθος τῶν ψυχῶν πα-
ρὰ τὰ σώματα γίνεται, οὐχ ὅτι εἰσὶ τὰ σώ-
ματα τῶν ψυχῶν αἴτια. ὁμοῦ γάρ εἰσι
μετ' αὐτῶν καὶ οὐδέτερον ἑτέρου προϋπάρ-
χει. ἀλλὰ διὰ τὴν τῶν ψυχῶν πρὸς ταῦτα

συγκεῖται. τῶν ἐχουσῶν φύσιν τῶν ἑπομένων,
ἢ καὶ ἠρτημένων αὐτοῖς, οὐκ ἐνδέχεται
τοίνυν τὴν αὐτοῦ ἐνέργειαν καὶ τὸ εἶδος. ἄλ-
λου εἶναι. καὶ γὰρ καὶ δύο ὁμοίως μεγέ-
θων εἰ τὸ ἔνυλον εἶδος αὐτῶν χωρισθείη
τῆς ὕλης, τὸ γὰρ μὴν ἀδιάφορον, αὐτῇ ἐπινοίᾳ
μόνῃ ἢ καὶ θάτερα δυνάμει, οὐ καὶ ἀλλήλων
καὶ ταὐτὸ διήνεγκεν, ἢ τὸ τοῦ γὰρ μὴν τὸ μέγε-
θος τούτου τοῦ σώματος εἶδος εἶναι. τὸ δὲ
λοιπὸν τοῦ λοιποῦ, ὥστε εἰ ἐπὶ τῆς ἐνεστ
ταῖς ψυχαῖς πρὸς τὰ σώματα. καὶ ἔσται τῶν
ψυχῶν ζωὰ ἄφθα πρὸς τὰ σώματα τοῦ
θεοῦ τοῦ πάντα δυναμένου τοῦ γὰρ ἐνεργοῦν-

τος, ὅταν καθὼς προφέρουσιν εἰς ἐνέργειαν
τὸ δύναμις προελθεῖν θελήσῃ, καὶ τὸ πα-
ρὰ φύσιν εἰς τὸ κατὰ φύσιν. προφέρομεν
οὖν διὰ ταῦτα καὶ πλείω τούτων καὶ περὶ
τῆς ἀναστάσεως οὐκ ἀδήλως ἀλλὰ ἡγούμε-
θα, ἔπειτα καὶ παρὰ τῆς πίστεως ἀναμ-
φιβόλως αὐτοῖς πιστεύειν ζωοθούμεθα,
ἐπειδὴ γὰρ παρὰ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀρ-
χηγοῦ τῆς σωτηρίας ἡμῶν, τῆς ἁμαρτίας καὶ
τοῦ θανάτου ἠλευθερώθημεν, οἷς ἐνεπί-
σομεν διὰ τὴν τοῦ Ἀδὰμ παράβασιν, καὶ
γὰρ οὐ μόνον ἡ ἐκείνου ἁμαρτία διέβη εἰς
πάντας, διὰ τὴν τῆς φύσεως κοινωνίαν

καὶ τὴν πρὸς τὰ φαῦλα τὴν αὐτὴν καὶ χείρω
ὁρμήν. διὰ δὲ τῆς ἁμαρτίας ὁ θάνατος εἰς
τὸν κόσμον εἰσῆλθεν, ὡς καὶ ὁ ἀπόστολος
λέγει δι᾽ ἑνὸς ἀνθρώπου ἁμαρτία εἰς τὸν κόσμον
εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας θάνατος, ἀ-
νάγκη τῶν ἀμφοτέρων ἐλευθερωθῆναι
διὰ χριστοῦ, καὶ γὰρ ὁ αὐτὸς ἀπόστολος φησίν,
εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος
ἐβασίλευσε, δι᾽ ἑνὸς πολλῷ μᾶλλον οἱ λα-
βόντες τὴν περισσείαν τῆς δωρεᾶς καὶ
τῆς δικαιοσύνης βασιλεύσουσι διὰ τοῦ ἑ-
νὸς ἰησοῦ χριστοῦ, ἵνα τοίνυν ἔπαθλον ἡμῖν ἐν
ἑαυτῷ ὑποδείξῃ, καὶ θανὼν καὶ ἀναστὰς

ἠθέλησεν ἀποθανεῖν μὲν. ἵνα ἡμᾶς τῆς
ἁμαρτίας καθαρίσῃ ὥς φησιν ὁ ἀπόστο-
λος. ὥσπερ ἔστι τοῖς ἀνθρώποις ἅπαξ ἀποθα-
νεῖν, οὕτω καὶ ὁ χριστὸς ἅπαξ προσηνέχθη
εἰς τὸ ἁμαρτίας ἐξαλεῖψαι πολλῶν. ἀ-
ναστῆναι, δὲ ἠθέλησεν ἵνα ἡμᾶς τοῦ θα-
νάτου ἐλευθερώσῃ. ὅθεν ὁ ἀπόστολος φη-
σί. χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἀπαρχὴ τῶν
κεκοιμημένων. ὅτι δι᾽ αὐτοῦ ὁ θάνατος,
καὶ δι᾽ αὐτοῦ ἀνάστασις νεκρῶν. τὸ μὲν
οὖν ἀποτέλεσμα τοῦ θανάτου, ἐν τοῖς
μυστηρίοις λαμβάνομεν ὅσον πρὸς τὴν
τῆς ἁμαρτίας ἄφεσιν, καὶ γὰρ διὰ τῆς δυ-

νάμεως τοῦ πάθους τοῦ Χριστοῦ τὰ μυστήρια ἐνεργοῦσι, συνθαπτόμεθα γὰρ αὐτῷ διὰ τοῦ βαπτίσματος. καὶ διὰ τῆς κοινωνίας τὸν θάνατον αὐτοῦ καταγγέλλομεν. καὶ διὰ πάντων νεκροὶ τῇ ἁμαρτίᾳ γίνεσθαι ὑπισχνούμεθα. τὸ δὲ ἀποτέλεσμα τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅσον πρὸς τὴν τοῦ θανάτου ἀπαγωγήν, ἐν τῷ τέλει τῶν αἰώνων ληψόμεθα, ὅταν πάντες διὰ τῆς τοῦ Χριστοῦ δυνάμεως ἀναστῶμεν, ὅθεν φησὶν ὁ ἀπόστολος· εἰ νεκροὶ οὐκ ἐγείρονται οὐδὲ Χριστὸς ἐγήγερται, ἄρα οὖν ματαία ἡ πίστις ἡμῶν, ἄρα ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν. καὶ

πάλιν, εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε
καὶ ἀνέστη, οὕτω καὶ ὁ θεὸς τοὺς κοιμηθέν-
τας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ, καὶ πά-
λιν, εἰ ὁ Χριστὸς κηρύττεται ὅτι ἀνέστη ἐκ νε-
κρῶν, πῶς τινὲς λέγουσιν ἐν ὑμῖν ὅτι
ἀνάστασις νεκρῶν οὐκ ἔστιν. εἰ δὲ ἀνάστα-
σις νεκρῶν οὐκ ἔστιν οὐδὲ Χριστὸς ἐγήγερται,
εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, μάταιον τὸ κή-
ρυγμα ἡμῶν, πάλιν φησὶν πρὸς Τιμόθεον
γράφων, τὰς μωρὰς καὶ ἀπαιδεύτους
ζητήσεις παραιτοῦ, πολλοὶ γὰρ προκόπτουσιν
εἰς ἀσέβειαν καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραι-
να νομὴν ἕξει, ὧν ἐστι ὑμέναιος καὶ φι-

λητός, οἳ τῆς ἀληθείας ἐξέπεσον, λέγον-

τες τὴν ἀνάστασιν τῶν νεκρῶν ἤδη γενέσθαι·

οὗτοι γὰρ οὐκ ἐδόξαζον νεκρῶν σωμάτων

ἀνάστασιν, ἀλλὰ τὴν τῆς ψυχῆς ἀπὸ κα-

κίας εἰς ἀρετὴν μεταβολήν, καὶ ἀπὸ τῆς

πλάνης εἰς τὴν ἀλήθειαν, καὶ τὴν περὶ θεοῦ

ἐπίγνωσιν, ἀνάστασιν ἔλεγον εἶναι· ὅπερ

ὁ ἀπόστολος ἀνατρέπει, καὶ πᾶσα ἡ θεία

γραφή· αὐτῶν τῶν σωμάτων ἀνάστασιν ἔ-

σεσθαι λέγουσα, ὁ μὲν γὰρ ἀπόστολος φη-

σί, σπείρεται σῶμα ψυχικόν, ἐγείρεται

σῶμα πνευματικόν· καὶ ἀνάγκη τὸ φθαρτὸν

τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνη-

τοῦτο ἐνδύσασθαι ἀθανασίαν, ἐν δὲ τῷ εὐαγγελίῳ παρὰ τοῦ χριστοῦ εἴρηται, ἔρχεται ὥρα καὶ νῦν ἐστι, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ οἱ ἀκούσαντες ζήσονται, καὶ πάλιν ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. φησὶ δὲ καὶ ὁ ἰώβ. οἶδα ὅτι ὁ λυτρωτής μου ζῇ. καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἀναστήσομαι ἐκ τῆς γῆς, καὶ πάλιν ὥσπερ καὶ τὸ

μετὰ τὸ δέρμα μου, καὶ ἐν τῇ σαρκί μου ὄψο-
μαι τὸν θεόν. καὶ ὁ θεῖος δαβὶδ ἀντανελεῖς τὸ
πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι. καὶ εἰς τὸν
χοῦν αὐτῶν ἐπιστρέψουσιν, ἰδοὺ περὶ
σωμάτων ὁ λόγος, εἶτα ἐπάγει. ἐξα-
ποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ
ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, καὶ ὁ
ἠσαΐας ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερ-
θήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ ὁ μακά-
ριος ἰεζεκιήλ. ἐγένετο φησὶν ἐν τῷ με
προφητεῦσαι, καὶ ἰδοὺ σεισμός, καὶ προ-
σήγαγε τὰ ὀστᾶ ὀστέον πρὸς ὀστέον. ἕκα-
στον πρὸς τὴν ἁρμονίαν αὐτοῦ, καὶ εἶδον,

καὶ ἰδού, ἐπεγίνετο αὐτοῖς νεῦρα, καὶ
σάρκες ἀνεφύοντο, καὶ ἀνέβαινον ἐπ' αὐ-
τά, καὶ περιετάθη αὐτοῖς δέρματα
ἐπάνωθεν. εἶτα διδάσκει πῶς μελα-
θέντα ἐπανῆλθε τὰ πνεύματα, καὶ ἄλ-
λα δὲ πολλὰ τοιαῦτα ἡ θεία γραφὴ περὶ
τῆς μελλούσης ἀναστάσεως ἡμῖν παραδί-
δωσιν, ἐξ ὧν δῆλον ὅτι τὰ νεκρὰ ἐγερ-
θήσονται σώματα, καὶ τῇ ἀπείρῳ δυνά-
μει τοῦ θεοῦ, οὐδὲν ἀδύνατον ἔσται. ἐπεὶ
τοίνυν οὐ μόνον τοῖς τοιούτοις λόγοις ἡ ἀ-
νάστασις βεβαιοῦται ἀλλὰ καὶ αὐτὸς ὁ
χ̄ς ἐκ νεκρῶν ἀνέστη. ὥστε καὶ θεαθῆν

καὶ ταφηθῆναι καὶ φαγεῖν ὅπερ οὐ κατὰ

κατὰ φύσιν κοινὸν λόγον, οὐδὲ γὰρ μετὰ τὴν

ἀνάστασιν τῆς τροφῆς ἔδει, ἀλλὰ διὰ τὴν τῆς

ἀναστάσεως πίστωσιν· ὥσπερ οὐδ' ἡμεῖς

μετὰ τὴν ἀνάστασιν φαγούμεθα, ἢ πιού-

μεθα, λεπτὰ δὲ καὶ ἀπαθῆ τὰ σώματα

ἡμῶν ἀναληψόμεθα καὶ ἄφθαρτα, κα-

θάπερ καὶ τὸ τοῦ Χριστοῦ σῶμα, κεκλεισμένων

τῶν θυρῶν εἰσελθόν. οὐ μὴν ἀλλὰ καὶ τὸν Λά-

ζαρον νεκρὸν τετραήμερον γεγονότα, ἐξή-

γειρεν εἰς ἔνδειξιν τῆς οἰκείας θεότητος καὶ

πίστωσιν τῆς αὐτοῦ τε καὶ ἡμῶν ἀναστά-

σεως, ὃς καὶ πολλῶν παρὰ πάντων τῶν οἰ-

κτῶντε καὶ γνωρίμων ἐγνωρίσθη, καὶ ἐ-
πιστώθη ὅπερ οὐκ ἂν ἦν μὴ τῶν χαρακ-
τηρικῶν ἰδιωμάτων τῆς ὑποστάσεως ταυ-
την συνιστώντων, ἐπεὶ τοῦτο οὕτως ἔχει, ὀ-
φείλομεν βεβαίως πιστεύειν τὸ τῆς ἀναστά-
σεως μυστήριον ὑπὸ τῆς θείας γραφῆς κη-
ρυττόμενον τῆς ἐκ θεοῦ ἡμῖν δοθείσης διὰ
τοῦ τῆς ἀληθείας ἐπίγνωσιν. οὐ γὰρ ἂν πρω-
τότοκος τῶν νεκρῶν ὁ χριστὸς λέγεται γεγονέναι
μὴ πάντων συνεπομένων, ἔσται τοίνυν ἡμέ-
ρα μεγάλη καὶ ἐπιφανής, καθ' ἣν ἡ μετὰ
δόξης παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου γενή-
σεται, περὶ ἧς δανιὴλ ὁ προφήτης γρά-

φη. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός,
καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς
υἱὸς ἀνθρώπου ἐρχόμενος ὡς τοῦ παλαιοῦ τῶν
ἡμερῶν, καὶ ἔφθασε καὶ προσηνέχθη αὐ-
τῷ, καὶ ἐδόθη αὐτῷ ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ
ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ καὶ
γλῶσσαι δουλεύσουσιν αὐτῷ, ἡ ἐξουσία
αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύ-
σεται, καὶ ἡ βασιλεία αὐτοῦ, οὐ διαφθα-
ρήσεται, καὶ ἔτι φησίν, ἐθεώρουν ἕως οὗ
θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς ἡμερῶν
ἐκάθητο, καὶ ποταμὸς πυρὸς εἷλκεν
ἔμπροσθεν αὐτοῦ, καὶ χίλιαι χιλιάδες

ἐλειτούργουν

ἐλειτούργουν αὐτῷ. καὶ μύριαι μυ-
ριάδες παρειστήκεισαν αὐτῷ, κριτήριον ἐκά-
θισε καὶ βίβλοι ἠνεῴχθησαν καὶ τὰ λοιπά.
ἐλεύσεται τοίνυν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δό-
ξῃ αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ
πάντες οἱ ἀπὸ κτίσεως κόσμου ἐκ τῶν
νεκρῶν ἀναστήσονται καὶ ἡμεῖς οἱ ζῶντες
οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπα-
γησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν
τοῦ κυρίου εἰς ἀέρα, καὶ παραστήσεται πᾶσα
φύσις ἀνθρώπων αὐτῷ ὥστε κρῖναι ζῶντας καὶ
νεκρούς. κρινεῖ δὲ οὐχ ὡς ἄνθρωπος ἁπλῶς ἐν
τῇ ταπεινώσει τῆς σαρκὸς δηλονότι, ἀλλ' ἀμε-

τὰ τῆς δόξης τῆς θεότητος, ἐξουσίας, ὥσ-
περ γὰρ λέγομεν ὅτι ὁ κύριος τῆς δόξης ἐσταυρώ-
θη, καὶ ἀπέθανε καθὸ ἄνθρωπος, οὕτω καὶ
κρινόμενον ὡς ἄνθρωπος. αὐτὸς ὁ κύριος τῆς δόξης τό-
τε πᾶν γόνυ κάμψει, ἐπουρανίων καὶ ἐπι-
γείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα
ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ
πατρός. καὶ ὁ μὲν ἄρχων τοῦ σκότους παραδο-
θήσεται εἰς καῦσιν πυρός, μετὰ τῶν ἀγγέ-
λων αὐτοῦ. καθὼς φησὶ Δανιὴλ ὁ προφή-
της. τοῦτον γὰρ ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος
αὐτοῦ, ἐπειδὴ καὶ τὰ πάντα φέρει τῷ ῥήματι
τῆς δυνάμεως αὐτοῦ, κατὰ τὸν θεῖον ἀπό-

στολον, ἀποδοθήσεται δὲ τῶν ἀνῶν ἑκάστω
κατὰ τὰ ἔργα αὐτῶ, καὶ οἱ μὲν δίκαιοι
ἀνάλογον λαμπρότητα καὶ φωτισμὸν
καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς κατὰ τὴν
ἀναλογίαν τῆς ἀρετῆς ἑκάστου, καὶ τῆς
ὑπὲρ τοῦ θῦ καὶ τῆς πίστεως κακοπαθ.
οἱ δὲ πονηροὶ, κατὰ τὸν αὐτὸν τρόπον ἀπο-
λήψονται σκότος ἀνάλογον ταῖς ψυχαῖς
αὐτῶν, καὶ τοῖς σώμασι, κατὰ τὸ ἀνα-
λογον τῆς ἑκάστου κακίας καὶ πονηρ.
καὶ γὰρ λέγει μὲν αὐτὸς ὁ κς ὅτι οἱ δίκαιοι
λάμψουσι ὡς ὁ ἥλιος. λέγει δὲ ὁ μακα-
ριος παῦλος σπείρεται σῶμα ψυχικόν, ἐγεί-

ρεται σῶμα πνευματικόν. Καὶ τὰς διαφορὰς δει-
κνὺς τῆς λαμπρότητος ἐπάγει· ἄλλη δόξα
ἡλίου· καὶ ἄλλη δόξα σελήνης. ἀστὴρ ἀ-
στέρος διαφέρει ἐν δόξῃ. καὶ πάλιν λέγει, ὅ-
τι καὶ αὐτὸ τὸ σῶμα ἡμῶν μετασχημα-
τισθήσεται εἰς τὸ γενέσθαι σύμμορφον τῷ
σώματι τῆς δόξης τοῦ υἱοῦ αὐτοῦ. ἐπειδὲ
καὶ αὐτὴν τὴν κτίσιν ἐλευθερωθήσεσθαι
φησὶν ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν
δόξαν τῆς ἐλευθερίας τῶν τέκνων τοῦ θεοῦ
δηλῶν, ὅτι καὶ ἡ αὐτὴ κτίσις λαμπροτέρα,
ἔσται καὶ γῆ καθά φησι τῆς τῶν ἁγίων, ὥσπερ
ὑπεβλήθη τῇ φθορᾷ δι' ἡμᾶς, οὕτω συμπα-

νικημένοι εἰσὶ καὶ συμβαίνει ἀμεταβλήτως ἐπὶ τῇ
τῶν ἀγώνων νίκῃ. καὶ ἀπολήψεται τοῦ μι-
σθοῦ τοῦ πράγματος τῆς διακονίας, τῷ
συντελέσουσιν ἐς τὴν γένεσιν τῶν ἐκλεκ-
τῶν, διὸ καὶ ὁ Ἡσαΐας λέγει τοῦ ἡλίου
τὸ φῶς ἑπταπλάσιον ἔσεσθαι, καὶ τὴν σε-
λήνην λάμψειν ὡς νῦν ὁ ἥλιος, καὶ και-
νὴν ἔσεσθαι γῆν καὶ καινὸν οὐρανόν. τὸ γὰρ
ἀποτέλεσμα ἐκείνου πληρωθήσεται, ὅταν
παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί,
τότε καὶ αὐτὸς ὑποταγήσεται τῷ ὑποτάξαν-
τι αὐτῷ τὰ πάντα. οἱ γὰρ ἀσεβεῖς καὶ
δίκαιοι κατὰ τὸ μέτρον πρὸς τὸν χρόνον ἀπο-

βλέποντες καὶ τὴν ἀρετὴν κατὰ τὰς ἐντο-
λὰς αὐτοῦ μετερχόμενοι, δι᾽ αὐτοῦ τὴν ἑαυ-
τῶν οἰκονομοῦσι πνευματικὴν ζωήν. τὴν νῦν
μὲν ἐν αὐτῷ τῷ χριστῷ κρυπτομένην, ὕστερον
δὲ αὐτῷ συμφανερουμένην, δι᾽ αὐτοῦ γὰρ καὶ
ἐκείνου κληρονομία καὶ βασιλεία λέγον-
ται οὗτοι. ὅτι ὡς αὐτὸς δι᾽ αὐτοῦ ἑαυτοῦ
θανάτου καὶ αἵματος προσήγαγε τῷ θεῷ καὶ
πατρί. δι᾽ αὐτοῦ γὰρ πρὸς τὸν θεὸν καὶ πατέρα τὴν
προσαγωγὴν ἐσχήκαμεν, ὃς αὐτῷ τε τὰ πάντα
ὑπέταξε, καὶ ἔτι ἑαυτὸν ὡς πρωτότοκον
ἐν πολλοῖς ἀδελφοῖς γενέσθαι καταξιώ-
σαντα, καὶ ἀρχιερέα καὶ οἰκονόμον τῆς

ἡμῶν σωτηρίας γινόμενον, ὡς ἄνθρωπον προσά-
ξει. καὶ ὑποταγήσεται τῷ πατρί, ὡς δὲ θεὸς
τῆς ὢν μετὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος, οὐχ ὑ-
ποταγήσεται, ὥστε ὁ αὐτὸς καθὸ μὲν ἄν-
θρωπος ὑποταγήσεται, ἐπεὶ κλιστὺ προ-
σείληφε σάρκα. καθὸ δὲ θεὸς ἐπ' ἴσης τῷ
ὑποταγὴν ἑαυτῷ ὑποτάξει, ὡς τῆς θεὸς μετὰ
τοῦ πατρὸς καὶ τοῦ πνεύματος, δηλονότι καὶ ὡς μὲν
θεὸς μετὰ τοῦ πατρὸς κρινεῖ καὶ τοῦ πνεύματος ὡς
τῆς κριτής ὡς δὲ ἄνθρωπος αὐτὸς μόνος, καὶ
τοῖς μετὰ τῶν σωματικῶν ὀφθήσεται χαρακ-
τήρων ἵνα καὶ οἱ ἰουδαῖοι κατανοήσω-
σιν αὐτὸν ἐκεῖνον εἶναι τὸν ὑπ' αὐτῶν σταυρω-

θεῖα ἐς ἔλεγχον αὐτῶν καὶ πάντων οἱ ἀπι-
στοι θεασῶνται καὶ καταισχυνθῶσιν, οἵ γε
ἐν τῷ παρόντι αἰῶνι κηρυττόμενον οὐκ ἐ-
δέξαντο, οὐδὲ τῆς διδασκαλίας αὐτοῦ ἐ-
πεστράφησαν. ἀλλὰ τῇ ἑαυτῶν ἐνέμειναν
πλάνῃ, καὶ γὰρ κατὰ τὸ ἀνθρώπινον τῷ προ-
φήτῃ Δανιὴλ εἴρηται, καὶ ἐδόθη αὐτῷ
ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πά-
λιν ὅπερ αὐτὸς ὁ κύριος εἶπεν. ὁ πατὴρ κρί-
νει οὐδένα. ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε
τῷ υἱῷ, ὃ λαμβάνεται μὲν καὶ κατὰ τὸ ἀν-
θρώπινον ὡς λέγομεν. ὁ δὲ θεῖος Χρυσό-
στομος καὶ ἐπὶ τῆς θείας γεννήσεως ἐξηγεῖ-

ται, ἐν τῷ κατὰ ἰωάννην λέγων, καὶ ἵνα
μάθης ὅτι τὸ ἔδωκεν αὐτῷ τοῦ ἐγέννησεν ἐστίν,
ἄκουσον ἐξ ἑτέρου τοῦτο δηλούμενον. ὥσ-
περ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ. οὕτως ἔδω-
κε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. τί οὖν πρό-
τερον αὐτὸν ἐγέννησε, καὶ τότε ἔδωκε τὴν
ζωήν, οὐκοῦν τυγχάνεις τῆς ζωῆς γεννηθείς.
ἀλλὰ τοῦτο οὐδ' ἂν δαίμονες εἴποιεν, μετὰ
γὰρ τῆς ἀσεβείας πολὺ καὶ τὸ ἀνόητον ἔχει,
ὥσπερ οὖν τὸ ἔδωκε ζωὴν ἐγέννησεν αὐτὸν
ζωὴν ἐστίν, οὕτω καὶ τὸ ἔδωκε κρίσιν, κριτὴν
αὐτὸν ἐγέννησε φησίν, ἐπεὶ γὰρ οὐκ ἂν ἐνε-
νόησε τῶν πολλῶν τις εἰκότως πῶς ἐστιν ἐν υ-

πόσαυτος αὐτοῦ ἡ ζωή πρότερον μὲν ἐκεῖνο
εἶπε τὸ ταπεινότερον, ἔπειτα πανδοξαθέντας
πρὸς τὸ ὑψηλότερον ἄγει. ὁ γὰρ εἰπὼν ὅτι
ἔδωκεν αὐτῷ ζωὴν ἔχειν, οὗτος πάλιν φησί
ἐγώ εἰμι ἡ ζωή, καὶ πάλιν ἐγώ εἰμι τὸ φῶς.
καθάπερ οὖν λέγομεν, εἰς ἔλεγχον καὶ κα-
τάκρισιν τῶν ἀπίστων καὶ ὀνειδισμὸν καὶ αἰ-
σχύνην αἰώνιον. ὡς αὐτὸς ἐλεύσεται μετὰ
δυνάμεως καὶ δόξης πολλῆς. ἵνα καὶ ὑπ'
αὐτῶν κατὰ τὸ δυνατὸν αὐτοῖς ὡς αὐτὸς θεα-
θῇ, ὅθεν καὶ αὐτοῖς μὲν οὐκ ἀγαθὸς ὁ ἀγα-
θὸς φανεῖται, τοῖς δὲ δικαίοις καὶ λίαν ἀγα-
θός, καὶ οἱ μὲν ὡς αὐτὸν ὄψονται μόνον, οἱ δὲ

δίκαιοι καθ' ἄμφω καὶ ὡς ἄνθρωπον καὶ θεόν· καὶ

οἱ μὲν εἰς κόλασιν αἰώνιον ἀπελεύσονται

οἱ δὲ, εἰς ζωὴν αἰώνιον :·

## περὶ τῆς μελλούσης ἀποκαταστάσεως:

Ὅτι γὰρ ἡ λαμπρότης τοῦ σώματος τοῦ Χριστοῦ οὐ θ´

μόνον τοῖς ἁγίοις θεάσιμος ἔσται, ἀλλὰ καὶ

τοῖς πονηροῖς, καὶ ὁ μακάριος αὐγουστῖνος

διϊσχυρίζεται, ὄψονται γὰρ καὶ οὗτοι εἰς ὃν ἐ-

ξεκέντησαν, καὶ ὄψονται ἐρχόμενον μετὰ

δόξης πολλῆς καὶ δυνάμεως, οὐ γὰρ ἐν τῇ

ἀσθενείᾳ φησὶ καθ' ἣν κέκριται ὄψονται αὐ-

τοῦ, ἀλλ' ἐν τῇ δυνάμει τῆς δόξης ὁ κριτής.

εἶτα ἀπορίαν ἡ ζήτ. ὅτι ἡ γεέννας καὶ

ἔπαθλόν ἐστιν ἐν ἐπαγγελίαις κείμενον ὄψε-
σθαι τὸν θεόν. μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρ-
δίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται· καὶ πάλιν
ὀφθήσομαι ὑμῖν καὶ χαρήσεται ὑμῶν ἡ
καρδία, πῶς καὶ οἱ πονηροὶ ὄψονται αὐτὸν
ἐν τῇ δόξῃ αὐτοῦ. ὁ καὶ λύων φησίν. οὐ τὴν
τῆς θεότητος θεωρίαν ἔσεσθαι κοινὴν τοῖς
ἀγαθοῖς καὶ τοῖς πονηροῖς. αὕτη γάρ ἐστιν ἡ
τοῖς ἁγίοις ἐξαίρετος, ἀλλὰ τὴν ἐν τῇ δόξῃ
τοῦ σώματος θεωρίαν, παραδώσει τοίνυν βα-
σιλείαν τῷ θεῷ καὶ πατρί. ἀγαγὼν δηλονότι τοὺς
πιστοὺς εἰς τὴν θεωρίαν καὶ γνῶσιν τοῦ πατρὸς
καὶ ἑαυτοῦ καὶ τοῦ ἁγίου πνεύματος. τοῦ ἑνὸς καὶ

ἀληθοῦς θυ. ἵνα ἦ αὐτοῖς ὁ θεὸς τὰ πάν-
τα, νῦν μὲν γὰρ πιστεύομεν καὶ ἐλπίζομεν φη-
σὶν ὁ ἀπόστολος, ὃ δὲ ὃ οὐ βλέπομεν ἐλ-
πίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα, ἕως
οὗ ὁ βασιλεὺς ἐν ἀναπαύσει αὐτοῦ ἐστι.
καὶ πάλιν ἐφόσον ἐσμὲν ἐν τῷ σώματι
ἀποδημοῦμεν ἐκ τοῦ κυ. διὰ πίστεως γὰρ
περιπατοῦμεν, οὐ διὰ εἴδους, καὶ νῦν ἡ
ζωὴ ἡμῶν κέκρυπται ἐν τῷ χῷ. ὅταν δὲ ὁ
χς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς
φανερωθήσεσθε σὺν αὐτῷ ἐν δόξῃ, καὶ νῦν
μὲν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε
δὲ ὀψόμεθα πρόσωπον πρὸς πρόσωπον,

αὕτη γὰρ ἡμῖν ἡ θεωρία ἐν ὑποσχέσει ἐστί·
τέλος οὖσα πασῶν τῶν ἐργασιῶν καὶ αἰώ-
νιος τῆς εὐφροσύνης τελείωσις. υἱοὶ γὰρ ἐσμὲν
τοῦ θεοῦ φησὶν ὁ εὐαγγελιστὴς ἰωάννης, καὶ
οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν
δὲ ὅτι ὅταν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσό-
μεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι,
καὶ αὐτὸς ὁ κύριος εἴρηκεν, αὕτη ἐστὶν ἡ αἰώ-
νιος ζωή· ἵνα γινώσκωσί σε τὸν μόνον ἀλη-
θινὸν θεόν, καὶ ὃν ἀπέστειλας ἰησοῦν χριστόν, περὶ ταύ-
της καὶ ὁ δαβὶδ ἐκ προσώπου τοῦ θεοῦ λέ-
γει, μακρότητος ἡμερῶν ἐμπλήσω αὐτόν,
καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου, καὶ περὶ αὐτοῦ,

μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ζητήσω·
τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέ-
ρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερ-
πνότητα κυρίου· ὥστε ἀπὸ τῆς ἐνταῦθα πί-
στεως εἰς τὴν μέλλουσαν ἐκείνην καὶ ἄρρη-
τον ἀπόλαυσιν καταντήσομεν, καὶ γὰρ
φησὶν ὁ αὐτὸς ὁ πατὴρ φιλεῖ ὑμᾶς ὅτι ὑ-
μεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύ-
κατε ὅτι ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον, ἐξῆλ-
θον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσ-
μον, πάλιν ἀφίημι τὸν κόσμον καὶ πο-
ρεύομαι πρὸς τὸν πατέρα, οὕτω γοῦν ἐνταῦ-
θα πιστεύομεν, ὅτι αὐτὸς ὁ εἷς τῆς τριά-

δος ὁ ἐκ τοῦ θεοῦ καὶ πρὸ γεννώμενος ἀϊ-
δίως καὶ ἀρροΐστως καὶ ἀνεκφοιτήτως,
κατὰ τὴν οὐσίαν ἴσος ὢν αὐτῷ, καὶ ἀ-
ληθὴς υἱὸς αὐτοῦ καὶ λόγος δι' οὗ τὰ παν-
τα ἐγένετο κατελθὼν ἐκ τῶν οὐρανῶν, ἀνε-
λάβετο σάρκα ἐκ τῆς ἁγίας θεοῦ καὶ ἀει-
παρθένου μαρίας, διὰ τὴν ἡμετέραν σωτηρίαν,
ἄνευ ἁμαρτίας, καὶ πάθες ἀλλοιώσεως καὶ
τροπῆς καὶ ἐσταυρώθη, κατὰ τὸ ἀνθρώπινον, γενό-
μενος ὑπὲρ ἡμῶν κατάρα, καὶ ἀποθανὼν
κατῆλθεν ἐν τῷ ᾅδῃ μετὰ ψυχῆς ὡς θεός,
καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς ἐκ τῶν νε-
κρῶν. τὴν ἡμετέραν συνανέστησε φύσιν,

καὶ ἀνελήφθη εἰς τοὺς οὐρανούς, καὶ ἐκά-
θισεν δεξιᾷ τοῦ θεοῦ καὶ πατρός· τὸ ὁμότι-
μον τῆς ἀξίας τοῦ ἐν δεξιᾷ σημαίνοντος,
καὶ πάλιν ὁ αὐτὸς ἐλεύσεται κρῖναι ζῶν-
τας καὶ νεκρούς. εἰ τοίνυν τούτοις πιστεύο-
μεν πόρρω πάσης ἀμφιβολίας τῆς μελ-
λούσης δόξης καὶ θεωρίας ἐπιτευξόμεθα.
ὁ γὰρ ἔχων τὰς ἐντολάς μου φησὶ καὶ τη-
ρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με,
ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ
τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν,
καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν, καὶ ἐὰν
ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς τη-

ρήσετε, καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλ-
λον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ'
ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας
ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, οἱ φιλοῦ-
ντες δηλονότι τὸν κόσμον, καὶ πάλιν ἔρ-
χομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυ-
τόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε καὶ
θέλω· πάτερ οὓς δέδωκάς μοι, ἵνα ὅπου
εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεω-
ρῶσι τὴν δόξαν ἣν δέδωκάς μοι, ὅτι ἠγά-
πησάς με πρὸ καταβολῆς κόσμου, πάν-
τοτε οὖν σὺν κῷ ἐσόμεθα κατὰ τὸν θεῖον
ἀπόστολον καὶ χαρήσεται ἡμῶν ἡ καρδία,

καὶ ἡ χαρὰ ἡμῶν πεπληρωμένη ἔσται,
καὶ ταύτην οὐδεὶς αἴρει ἀφ᾽ ἡμῶν ὡς ὁ κύριος
φησίν. ὅτε οὐκέτι ἐν παροιμίαις λα-
λήσει ἡμῖν. ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς
αὐτοῦ ἀναγγελεῖ ἡμῖν. τοῦ πατρὸς δὲ εἰπών,
δίδωσι καὶ ἑαυτὸν μετὰ τοῦ ἁγίου πνεύματος ἀ-
διαστάτως νοεῖσθαι. εἷς γὰρ θεός ἐστι μετὰ
τοῦ πατρὸς καὶ τοῦ πνεύματος, τουτέστιν οὐκέσον-
ται ὁμοιότητες καὶ σύμβολα τῆς ὁρά-
σεως γινομένης πρόσωπον πρὸς πρόσω-
πον, καὶ γὰρ φησὶν ὁ ἀπόστολος, ὅταν ἔλ-
θῃ τὸ τέλειον τότε τὸ ἐκ μέρους καταργη-
θήσεται, ταύτης τῆς θεωρίας εἵνεκα καὶ

τύπον εἶχεν ἡ μαρία, παρακαθημένη πα-
ρὰ τοὺς πόδας τοῦ ἰυ̃, καὶ ἀκούουσα τῶν
λόγων αὐτοῦ. τὸ μὲν γὰρ τῆς ἀρετῆς πρακτι-
κόν, ὅπερ ἀρχὴ θεωρίας ἐστὶν οὐκέτι ἡμῖν
παραμενεῖ, ἅμα παύσεται, ἅμα διὰ τῶν τοῦ
σώματος συνισταμένων πόνων, ἡ δὲ ἐνταῦθα
θεωρία, καὶ ὁ τρόπος αὐτῆς παύσεται καθ'
ὃν θεωροῦμεν, ἀλλ' ὅμως ἀρχὴ ἡμῖν ἔσται τῆς
μενούσης θεωρίας. ὥσπερ γὰρ ὁ κς̃ φησί
ὁ μὴ πιστεύων ἤδη κέκριται, τουτέστι τὴν
ἀρχὴν τῆς καταδίκης ἐντεῦθεν λαμβάνει,
οὕτω πάλιν αἰωνίαν ἔφησε ζωὴν τὸ γινώσ-
κειν τὸν αὐτὸν πατέρα τὸν ἀληθινὸν θν̃. καὶ αὐτοῦ

τοῦ κῦ ἡμῶν ἰῦ χῦ, ζωννοουμένου καὶ τοῦ
ἁγίου πνς δηλονότι, καθότι ἡ ἐνταῦ-
θα περὶ αὐτοῦ ἀληθὴς πίστις καὶ θεω-
ρία καὶ γνῶσις αἰτία καὶ ἀφορμὴ ἡμῖν
ἔσται τοῦ τυχεῖν τῆς ἀποκειμένης μακαριό-
τητος, καὶ δῆ τοσ[illegible] ἐκεῖ ὄψεται, ὅσον
ἐνταῦθα πεπίστευκε, καὶ τὰ ἐνταῦθα
τῆς θεωρίας αἰνίγματα τὸ τῆς ἀληθοῦς
θεωρίας διαδέξονται κάλλος, ὑποχωρού-
σης μετὰ τὸν παρόντα βίον τῆς πίστεως δη-
λονότι καὶ τοῦ ἐσόπτρου τοῦ τοιούτου σώ-
ματος ἡμῖν λυθέντος, καὶ πάλιν πρὸς
τὸ βέλτιον ἀναλαμβανομένου, ἐξ ὧν δῆ-

λον καὶ τοῖς περὶ τὴν πίστιν ἐνταῦθα σφα-
λέντας, καὶ τῆς ἀληθοῦς περὶ θεὸν ἀποτυχόν-
τας γνώσεως, μὴ δὲ τῆς ἐκεῖ θεωρίας ἐπι-
τυχεῖν, ἀλλ' ἀμυήτους ὑπάρχειν καὶ μετὰ
τῆς ἀρετῆς (ὑστέρας) εἶναι μερίδος. διὰ ταῦτα τὸ μὲν
τῆς ἀρετῆς πρακτικόν, ὡς ἀτελέστερον τῶν
ἐρχομένων φασί. τὸ δὲ θεωρητικοῦ ἔργον
εἶναι τελείων, ὅθεν καὶ ὁ κύριος πρὸς τὴν μάρ-
θαν τῷ πρακτικῷ ἀναλογοῦσαν, εἶπε, μάρ-
θα μάρθα μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολ-
λά, ἑνὸς δέ ἐστι χρεία, τοῦ περὶ τὸν τοῦ θεοῦ
λόγον ἀναστρέφεσθαι δηλονότι, καὶ αὐτὸ τὸ
θεωρεῖν, μακάριοι γὰρ οἱ ἀκούοντες τὸν λό-

γον τοῦ θεοῦ καὶ φυλάσσοντες αὐτόν. περὶ
δὲ τῆς μαρίας εἴρηκε· μαρία δὲ τὴν ἀ-
γαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαι-
ρεθήσεται ἀπ' αὐτῆς, ἀπὸ γὰρ τῆς θεωρίας
ταύτης εἰς ἐκείνην τὴν μέλλουσαν χωρεῖν κα-
τὰ τὴν τελευτήν, καὶ οὐδὲ ἐφήμερον ἀρετῶν τῶν μετὰ
πόνων τοῖς πράγμασι· τῇ δὲ θεωρίᾳ κατὰ
πίστεως ὑποχωρησάσης, ἐκείνην τὴν θεω-
ρίαν ὑπὲρ νοῦν ἕνωσιν ὁ ἅγιος διονύσιος
φησί, περὶ οὗ καὶ πρότερον ἐμνήσθημεν,
τουτέστι μείζω ἢ κατὰ τὴν δύναμιν τοῦ ἡ-
μετέρου νοῦ, ὃ γὰρ ἀνθρώπινος νοῦς μεταβα-
τικῶς δύναται νοεῖν. καὶ γὰρ ἐξ αἰτίου

εἰς ἄλλο μεταβαίνων, καὶ ἀφ' ἑτέρου εἰς ἕτε-
ρον τὸ ὕστερον ἐπὶ τὸ ζητούμενον τῷ μὴ πέρασ-
μα καταντᾷ, διὸ καὶ ἀτελῆ τὴν γνῶσιν ἔχει.
ἀτελὴ μὲν ἀμέσως ἀλλὰ κατ' ὀλίγον εἰς τὴν τε-
λείωσιν τοῦ νοήματος πορευόμενος, ὃς δὴ
τρόπος τῆς νοήσεως ἡμῖν οὐκ ἔσται ποτέ. εἰ
γὰρ ἔσται ὁμοῦ μὲν ἀτελῆ τοῦ μήκους τὴν χα-
ρὰν καὶ διαφέρουσαν ἕξομεν, οὐ γὰρ ἐκ τοῦ
παραυτίκα καὶ ἀμέσως πληρωθησόμεθα κα-
θὸ πεφύκαμεν δέχεσθαι, ἀλλ' ἀεὶ τοῦ δυνα-
τοῦ ἥκιστα ἐσόμεθα, καὶ πῶς εἴρηται,
μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν
δικαιοσύνην ὅτι αὐτοὶ χορτασθήσονται, καὶ

πάλιν, χορ-

πάλιν, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι
τὴν δόξαν σου· ὅμως δὲ καὶ λύπης ἔ-
σται πρᾶγμα μεμιγμένον τῇ εὐφροσύνῃ, καὶ
πῶς ἂν τοῦτο δύναιτο, ὅπου γε οὐδὲ τοὺς
πονηροὺς κολαζομένους ὑπὸ τῶν δικαίων
ὁρᾶσθαι διδασκόμεθα, ἵνα μὴ τοῦτο συμ-
βαίνῃ, καὶ πῶς καθεκάστην εὐχόμεθα
τοὺς προαπελθόντας ἐκεῖ ταχθῆναι ἔνθα
οὐ λύπη οὐ στεναγμὸς ἀλλὰ ζωὴ ἀτελεύ-
τητος, οὐ γὰρ τοσοῦτον εὐφραίνει τὸ ληφ-
θέν, ὅσον τὸ λειπόμενον ἀνιάσει. καὶ εἰ
τὸ μὴ τυχεῖν τοῦ τέλους λύπην πάντα-
χοῦ παρέχει, πῶς οὐ τοῦτο ἡμῖν αἴτιον

ἔσται λύπης καὶ μᾶλλον, ὅσω καὶ τοῦ
μεγίστου ἀποδεξόμεθα, καὶ γὰρ ἀεὶ ἐπι-
θυμήσομεν τοῦ πλείονος, καὶ ἀεὶ ζητήσο-
μεν, καὶ ἐν ὅσω οὐ τυγχάνομεν ἀνιασόμε-
θα, καὶ τῆς ἀνίας οὐδέποτε παυσόμεθα
ἐπεὶ καὶ ἡ ἔφεσις εἰς τὸ ἄπειρον προχωρή-
σει, πρὸς δὲ καὶ οὐδὲν ἔλαττον μετὰ πί-
στεως καὶ ἐλπίδος καὶ μετὰ τὸν παρόντα βίον
ζησόμεθα, ἀλλὰ μὲν πᾶσα ἔφεσις καὶ
ἐλπὶς καὶ ζήτησις στήσεται. καὶ πᾶν ἡμῶν τὸ
ἐπιθυμητικὸν πληρωθήσεται τῆς τοῦ θεοῦ θεω-
ρίας, ἐπεὶ μηδὲν ἕτερον ἡμῖν μένει λοιπὸν
τῆς ἐπιθυμίας, ὥστε καθὸ πέφυκεν ἡ ἀν-

θρωπίνη φύσις καὶ κατὰ τὸ δυνατὸν ἐπα-
στω. ἡ τοῦ θεοῦ θεωρία ἐπιλάμψει ἡμῖν, καὶ
κληρονόμος αὐτῆς ἕκαστος ἔσται ἐκ τοῦ παρ'
αὐτίκα καὶ ἀμέσως, τῆς τελευταίας κρί-
σεως γινομένης. τοῦτο γάρ ἐστι ὅπερ ὁ ἅγιος
ὑπὲρ νοῦν ἕνωσιν καλεῖ, τὴν πρὸς τὸν θεὸν ἀ-
μεσον ὁμιλίαν, τουτέστιν ὑπὲρ ὃ δύνα-
ται ὁ ἀνθρώπινος νοῦς. καὶ ὅπερ ὁ παῦλος
λέγει πρόσωπον πρὸς πρόσωπον, καὶ
ὁ εὐαγγελιστὴς ἰωάννης ὀψόμεθα αὐτὸν
καθώς ἐστι. ταύτην δὲ τὴν κατὰ νοῦν ἄρ-
ρητον ὄψιν καὶ θεωρίαν τὴν τῶν δικαίων
κληρονομίαν, τὴν ὁ μακάριος διονύσιος

ὑπὲρ νοῦν ἕνωσιν καλεῖ, ὁ μέγας γρηγόριος
ὁ θεολόγος βασιλείαν ὅπου δὴ ἤθελε, ὃν καὶ
πρότερον ἀπὸ τῶν ἐκτεθέντων ῥητῶν καὶ μα-
λα φρονοῦντα ἐδείκνυμεν. ἐν γὰρ τῷ ῥηθέν-
τι λόγῳ διὰ τὴν πληγὴν τῆς χαλάζης, τῆς
μελλούσης καταστάσεως μεμνημένος, καὶ τοὺς
ἀκροατὰς ἐπὶ τὴν μνήμην προσκαλούμε-
νος, τῶν μελλόντων διαδέξασθαι δικαίους καὶ
ἀδίκους, τίς συνήγορος ἐκεῖ φησι, ποία
σκῆψις, τίς ψευδὴς ἀπολογία, ποία πι-
θανότης ἔντεχνος, ἡνίκα θρόνοι προστίθεν-
ται, καὶ παλαιὸς ἡμερῶν προκαθίζεται,
καὶ βίβλοι διανοίγονται, καὶ ποταμὸς πυ-

ρὸς ἥκεται. καὶ τὸ φῶς ἐμπεριαθὲν καὶ τὸ
σκότος ἡτοιμασμένον, καὶ πορεύονται οἱ
τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς τῆς
ἐν Χριστῷ νῦν κρυπτομένης, καὶ ὕστερον αὐτῷ
συμφανερουμένης, οἱ δὲ τὰ φαῦλα πρά-
ξαντες εἰς ἀνάστασιν κρίσεως, καὶ ἤδη πα-
ρὰ τοῦ κρίνοντος αὐτοὺς λόγου, οἱ μὴ πιστεύ-
σαντες κατεκρίθησαν. καὶ τοὺς μὲν τὸ φῶς δια-
δέχεται, καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς
θεωρία· Τριάδος ἐλλαμπούσης τρανώτε-
ρόν τε καὶ καθαρώτερον, καὶ ὅλης ὅλῳ
νοῒ μιγνυμένης, ὃ δὴ καὶ μόνον μάλιστα
βασιλείαν οὐρανῶν ἐγὼ τίθεμαι, τοῖς δὲ μετ'

τῶν ἀγγέλων βάλανος, μᾶλλον δὲ πρὸ τῶν ἀγγέλων. τὸ ἀ-
περρίφθαι θεοῦ. καὶ ἡ ἐν τῷ ζοφώδει τι αἰσ-
χύνη πέρας οὐκ ἔχουσα, ἰδοὺ καὶ οὗτος
τὴν τῶν ἁγίων κληρονομίαν τὴν τοῦ θεοῦ
θεωρίαν εἶναι διδάσκει, καὶ ὅλον ὅλῳ τῷ
νοῒ μίγνυσθαι, ὃ δὴ καὶ βασιλείαν οὐρανῶν
ὀνομάζει. οὐ μέντοι ἀπορεῖν δεῖ πῶς ὀψό-
μεθα τὸν θεὸν πρόσωπον πρὸς πρόσωπον,
ὡς φησὶ Παῦλος καὶ ὁ κύριος, μακάριοι οἱ
καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν θεὸν ὄψον-
ται. ὀψόμεθα μὲν γάρ, ἀγαπητοὶ κατὰ τὸ ἡμέ-
τερον δυνατόν. κατὰ τὸ ἀνάλογον γνωστικόν.
νῦν μὲν γὰρ ἐν σκιαῖς καὶ ἐν αἰνίγμασι βλέ-

πομ̄, εἶπε ὁ αὐτὸς γρηγόριος ὁ θεολόγος
γνωρίσματα τοῦ θ(εο)ῦ μετὰ τῶν ἑξῆς ἐν τοῖς
θεολογικοῖς αὐτοῦ λόγοις. ἑρμηνεύων δὲ
καὶ τίνα τὰ γνωρίσματα ταῦτα, ἐπιφωνη-
ματικῶς ἐπήγαγεν ὥσπερ αἱ καθ᾽ ὑδάτων
ἡλίου σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄ-
ψεσι παραδεικνύουσι τὸν ἥλιον, ἐπεὶ μὴ αὐ-
τὸν προσβλέπειν οἷόν τε τῷ ἀκραιφνεῖ τοῦ
φωτὸς νικῶντα τὴν αἴσθησιν. τότε δὲ οὐκ ἐν
σκιαῖς οὐδὲν αἰνίγμασιν, ἀλλ᾽ αὐτὸν τὸν θ(εὸ)ν
καθὼς οἱ ἅγιοι φασὶν, οὐ τελείως τὴν οὐσίαν
αὐτοῦ καταννοοῦντα, οὐ γὰρ ἔχομεν τὸ ἀνά-
λογον γνωστικόν. ἢ γὰρ ἂν ἦμεν θεοὶ κατ᾽ αὐ-

τόν, ἄναρχοι. Καὶ ἄπειροι, καὶ ἀπερίγρα-
πτοι καὶ τέλειοι γινώσκοντες αὐτόν ὡς αὐ-
τὸς ἑαυτόν, ἀλλ' οὕτως ὀψόμεθα ὥσπερ ὅταν
τὸ ὄμμα πρὸς τὸν ἥλιον ἀνατείνωμεν τὰς
ἐν τοῖς εἴδεσιν αὐτοῦ σκιὰς ὑπερβαίνοντες,
τότε μὲν γὰρ τὸν ἥλιον βλέπειν εἴποιμεν
ἂν ὀρθῶς, οὐ μὴν ἀκριβῶς αὐτὸν κατανοεῖν,
οὔτε τὸ μέγεθος οὔτε τὴν οὐσίαν καὶ τὸ ὑπο-
κείμενον τὸ δεκτικὸν τοῦ φωτός. οὔτε τὰ κατ'
αὐτὸν πάντα ἐξ ὧν ζωοθετός ἐστιν. ὅμως λε-
γόμεθα βλέπειν τὸν ἥλιον καὶ τοῦτο μὲν ὡς
πρᾶγμα ἐκτῆσθαι. ὅθεν οὐδὲ τὰ τούτου
καὶ ἐπὶ θεοῦ λαμβάνειν δεῖ πάντα, ἵνα μὴ πρὸ

τοῖς ἁγίοις καὶ περιγραπτὸν τὸν θεὸν φαν-
τασθῶμεν. μακάριοι τοίνυν ἐσόμεθα, ὅτι
ὃ οὐ βλέπομεν ἀναμφιβόλως πιστεύομεν.
διὰ γὰρ τῆς πίστεως ἐπὶ τὴν ἄρρητον τῆς
ἁγίας τριάδος καταντήσομεν θεωρίαν, καὶ
τὸν θεὸν ὀψόμεθα κατὰ τὴν τοῦ σωτῆρος ὑπόσχε-
σιν, ὅτε αὐτὸν ἔχοντες τὸ ἔσχατον ἀγα-
θὸν, οὐδεησόμεθα τινός. ἀναπλησθησό-
μεθα ζωῆς αἰωνίου, καὶ χαρᾶς καὶ ἀγαλ-
λιάσεως, καθὸ πέφυκεν ἕκαστος, κατὰ
τὴν ἀναλογίαν τῆς πίστεως καὶ τοῦ καμά-
του αὐτῶν καὶ γὰρ μονὰς πολλὰς παρὰ τῷ
θεῷ ἠκούσαμεν εἶναι, ἵνα μὲν καθ᾽ ὀλίγον

τὸ δῶρον αὐτὸ ἡμῖν λαμβανόντων, ἀτελῆ καὶ μεταλήψεως καὶ αἰωνίαν ἐκείνην θεωρίαν τοῦ θεοῦ καὶ ἀπόλαυσιν ἔχωμεν καὶ μετ' ἐλπίδος καὶ εὐφροσύνης καλὰ ζήσωμεν. καὶ τότε συμβήσεται ἡμῖν ἔχουσιν αὐτὸν τὸν θεὸν οὐ γενομένοις πάσης θεωρίας ἀνάπαυσις, ὅπερ ὁ προφήτης φησίν· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται:-

## Ἐπίλογος:

Ἵνα τοίνυν ἐπὶ τὸ ἐλπιζόμενον καταντήσωμεν ἀγαθόν, ὀφείλομεν πιστεύειν καὶ βεβαίως κατέχειν τὰ δόγματα τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. καὶ μίαν ἁγίαν καθολικὴν καὶ

ἀποστολικὴν ὁμολογοῦμεν, ὅσα περὶ
τοῦ ἑνὸς καὶ τρισυποστάτου θεοῦ κηρύττει,
ὅσα τε περὶ τῆς οἰκονομίας καὶ τῆς μελλού-
σης ἀναστάσεως διδάσκει, καὶ πάντα φυ-
λάττειν ὑγιῶς καὶ γνησίως. μήτε κατὰ
τὴν πίστιν, μήτε κατὰ τὴν πολιτείαν χω-
λεύοντας. πρὸς μὲν γὰρ τοὺς ἀπὸ μόνης τῆς
πίστεως θαρροῦντας τῆς αἰωνίου ζωῆς ἐπι-
τυχεῖν, ὁ κύριος εἴρηκεν, οὐ πᾶς ὁ λέγων μοι
κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν. καὶ τί με λέγετε κύριε κύριε καὶ οὐ ποιεῖ-
τε ἃ λέγω ὑμῖν, πρὸς δὲ τοὺς ἀπὸ μόνων
τῶν ἔργων ἐλπίζοντας ὁ ἀπόστολος εἶπεν,

αὐτοῦ πίστεως τῷ ἀρετὴν ἀδιάφορον, καὶ ἔρ-
γα χωρὶς πίστεως νεκρά ἐστιν. ὡς πίστις χω-
ρὶς ἔργων. εἰσὶ δὲ καί τινες ἀσεβεῖς, ἢ καὶ
αἱρετικοί. πρὸς οὓς πολλάκις τὰ μηνύοντα
κατά τινα οἰκονομίαν παρὰ τοῦ θεοῦ ἀποκα-
λύπτονται, ὡς ἀπὸ τῶν ἱστορουμένων δῆ-
λον, ὥσπερ καὶ ὁ Καϊάφας περὶ τοῦ Χριστοῦ,
ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προε-
φήτευσεν, ὡς ὁ εὐαγγελιστὴς φησίν, ὅτι συμ-
φέρει ἕνα ἄνθρωπον ὑπὲρ τοῦ λαοῦ ἀποθάνῃ.
οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ ὀνόματι τοῦ θεοῦ θαυ-
ματα ποιοῦσιν ἔστιν ὅτε, καὶ ὅμως τοῦ-
του οὕτως ἔχοντος οὐδὲν ἧττον πόρρω τοῦ

θυ ἐστί, περὶ αὐτῶν γὰρ ὅπου εἴρηκεν, ἐν ἐ-
κείνῃ τῇ ἡμέρᾳ πολλοὶ ἐροῦσί μοι, κε κε
τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δαι-
μόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολ-
λὰς ἐποιήσαμεν, καὶ τότε ὁμολογήσω
αὐτοῖς, οὐδέποτε ἔγνων ὑμᾶς, ἀποχω-
ρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας, οὓς
δὴ καὶ ἐκφεύγειν παραινεῖ· προσέχετε
λέγων ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες
ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προ-
βάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.
ὅθεν τοὺς τοιούτους προωθοῦμεν ἀπὸ τῆς
πίστεως, εἶτα ἀπὸ τῆς πολιτείας ἐξε-

τάζειν δεῖ. ἀπὸ γὰρ τῶν καρπῶν αὐτῶν φη-
σὶν ἐπιγνώσεσθε αὐτούς. καθ. πρὸς δὲ οἰ-
κεῖος μάλιστα ἀνθρώπῳ, τὰ τῆς ψυχῆς νοήματα,
ὧν φανερουμένων γινώσκεται, ἐπεὶ τῶν
χριστιανῶν ἀληθινὴ σύμφωνος πίστις ἐστί· εἴτε
καὶ μή, καὶ κατὰ τὸ πολλάκις δὲ εἰ ὑπο-
κρίνονται καὶ ἐξαπατῶσιν, ἀλλ᾽ ἅμα μετ᾽ ὀλί-
γον ἐξελέγχονται, ὅσα μὲν οὖν κατὰ τῆς
ἁγίας γραφῆς καὶ τῶν ἁγίων καὶ διδασ-
κάλων τῆς τοῦ θεοῦ ἐκκλησίας περὶ τῆς
ὑγιοῦς τῶν χριστιανῶν πίστεως διδασκό-
μεθα ταῦτα ἐστίν, ἃ καὶ καθὰ δὲ πιστοὶ
ὀφείλομεν ἐς δικαιοσύνην, καὶ στόματι ὁ-

μολογεῖν εἰς σωτηρίαν. ὡς ὁ διδάσκαλος τῶν
ἐθνῶν ἀπεφήνατο, ταύτην γὰρ ἐάν μή τις
πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δύναται. ὡς
ὁ μέγας ἀθανάσιος ἐν τῇ πρὸς ἰούλιον
πάπαν ῥώμης τῆς πίστεως ὁμολογίᾳ προ-
σέθηκεν, ἧς δὴ καὶ γρηγόριος ὁ θεολόγος
ἐν τῷ εἰς αὐτὸν ἐγκωμίῳ μνησθείς. μόνος
ἐκεῖνος φησὶν ἢ κομιδῇ σὺν ὀλίγοις ἀπο-
τολμήσει τὴν ἀλήθειαν ἐγγράφως ὁμολο-
γῆσαι. ταύτην λέγων ἀλήθειαν τὴν πρὸς
ἐκεῖνον γραφεῖσαν ὁμολογίαν, περὶ δὴ ταύ-
της τῆς πίστεως ἡμῶν καὶ ἡμεῖς τὰ σύμ-
πληρώματα αὐτῷ ἀναγκαιότατα κε-

φάλμα ἐν ἐπιστολῇ μὴ ταῦτα ἐνεγράψαμεν, εἴπερ
αὐτὸς μὲν ὦ φίλος παρ' ἡμῶν ἐζήτησας ἤδη
δὲ ἔχεις τὴν τῶν ζητηθέντων ἀπόδοσιν, ἣν καὶ
μὴ γνησίως καὶ ἀρκούντως, ἀλλὰ κατά γε
τὴν ἡμετέραν δύναμιν, καθότι ὁ θεὸς ἐχαρί-
σατο δηλονότι τῇ παρ' ἐμοῦ περὶ τὴν ἀνά-
γνωσιν μικρᾷ σπουδῇ τὴν χορηγίαν ἐπι-
μετρήσας, καὶ αὐτὰ δὲ ταῦτα οὐ καὶ ἅπαν.
ὃ καὶ ἀρχόμενος ἔλεγον εἰ μὴ βεβαίως ἠ-
πιστάμην παρὰ τῶν ἀρχαίων κηρυττόμενα,
καὶ τὰς μαρτυρίας ἐξ αὐτῶν εἶχον προ-
τιθέναι, ἐπεὶ μὲν γὰρ ταύτην ἐπὶ πάντων τῶν
ζωὴν θεῖαν ἔχω τῆς προσηκουσαμένοις καὶ τὰ

ἑτέροις ἕπεσθαι, ἐξαιρέτως δὲ τὸ τῶν
θέων ἐμαυτῷ τοῦ συνήθειαν ταύτην φυ-
λάττεσθαι βούλομαι, μηδὲν φρονεῖν,
μηδὲν λέγειν ὅπερ οὐ δοκεῖ τῇ γραφῇ καὶ
τοῖς μαθητευθεῖσιν ὑπὸ τοῦ ἁγίου πνς, τοῖς
διδασκάλοις τῆς ἐκκλησίας, μηδὲν γρα-
φειν, οὗ μὴ ἔχω φανερὰν καὶ βεβαίαν τὴν
μαρτυρίαν παρὰ τῆς ἁγίας τοῦ θεοῦ
γραφῆς καὶ τῶν ταύτης ἐξηγητῶν, οἷς ἡ
ἐκκλησία τοῦ θεοῦ καὶ ἐπῄνεσε καὶ ἐ-
δόξασεν, ὃ καὶ ἀπὸ τῶν ἐκτεθέντων δῆ-
λον ἐστὶ καὶ γνώσεται καθαρῶς, εἴπερ μό-
νον ἀδόλως καὶ ἀπ' ὀρθῆς κρίσεως τά γε

γεγραμμένα ἐπιτήδοι. ἀλλ' ἐμαυτοῦ γε οὐδὲν
ἐσπούδακα πάντως. τοῦτο δὲ μόνον, ὅπως τὰ
τοῖς ἀρχαίοις ἐν διαφόροις ῥηθέντα τόποις·
αὐτὸς ἐνταῦθα συνθεὶς περὶ τῶν λε-
γομένων βεβαίωσιν καὶ ἀλήθειαν, καίτοι
οὐδὲ τοῦτ' ἂν ἐποίουν, εἰ μὴ πλείστου τοῦτ'
ἐποιούμην, οὐδέ γε, εἴπερ νόσοι καὶ
σχολὴ καὶ βιβλία καὶ τῆς δυνάμεως λόγου
ταῦτα συλλέγειν ἀσφαλέστερον κέκρικα, καὶ συμ-
περασματικῶς τῇ διανοίᾳ ἐναποτεθεῖναι,
ἵνα μὴ δόξωμεν ὑπερηφάνως ἦθος ἐπὶ
τὸ ταῦτα συγγράφειν, καὶ τῷ τοῦ διαβόλου
νόσῳ νοσεῖν τῷ καὶ μείζει τοῦ δοκεῖν, ἀπορ-

ἐπιπλέον ὅμοιον ὅπερ πεποίηκα ὥσπερ ἂν
εἴ τις τὴν ὁμολογίαν τῆς πίστεως ἡμῶν
λαβών, λέγω δὲ τό, πιστεύω εἰς ἕνα θεόν, καὶ
τὰ ἑξῆς, τὸ δὲ μὲν εἶπεν ἐκ ταύτης ἐξίστα-
ται τῆς γραφικῆς ῥήσεως, τὸ δὲ δὲ ἐξ ἑτέ-
ρας, καὶ ἄλλο ἐξ ἄλλης, καὶ περὶ πάντων
ὁμοίως μέχρι τοῦ τέλους. ὅθεν οὐδὲ ἄξιον
ἐπαίνων ἐμαυτὸν διὰ τοῦτο κρίνω, πλὴν
εἰ μὴ λέγεις καὶ οἶμαι δικαίως, ὅτι κα-
θόμεν δὲν ἴδιον εἶπον καὶ ἀσύμφωνον τῇ
γραφῇ καὶ τοῖς ἁγίοις, ἄξιος ἐπαίνων
εἰμί. τὸ γὰρ τοιοῦτον πρῶτον πίστιν καὶ ὁμολο-
γίαν συγγράφειν τοῦ τέσσ. διὸ πολλοί τε-

φανεῖσθαι. εἰ δὲ ἐπὶ τούτοις οὔ φημι δί-
καιον ἀξιοῦσθαι ἐπαίνων, καθότι ἄλλοι κε-
κοπιάκασι καὶ ἐγὼ ἐς τὸν κόπον αὐτῶν εἰ-
σελήλυθα, πολλῷ μᾶλλον οὐδὲ μέμψεως.
ἑκάτερον γὰρ ἐπὶ τὴν διδασκαλίαν τῆς γρα-
φῆς καὶ τοὺς ἄλλους ἀναδεχόμεθα, καὶ
αὐτὰ γὰρ πάλιν ἐρῶ· ὡς οὐδὲν ἀπ᾽ ἐμαυ-
τοῦ ἴδιον εἶπον, ἀλλὰ τὰ παρὰ τῆς ἁγίας
γραφῆς καὶ τῶν διδασκάλων τῆς τοῦ θεοῦ
ἐκκλησίας περὶ τῆς ὑγιοῦς τῶν χριστια-
νῶν πίστεως διδασκόμενα. ταῦτα ἐξε-
λεξάμεθα. ἃ καὶ διὰ τὴν σαφήνειαν ἰδιω-
τικῶς καὶ κεφαλαιωδῶς κατὰ τὸ δυνα-

τοῦ ἐν τῷ Πλήθωνι σχεδιάσαντος

ἐξαθέματα :-

Τέλος:

274

Manuel Calecas de Fide.

G